UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

15. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

πάπτηνεν δὲ ἕκαϲτοϲ, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
ἔϲπετε νῦν μοι μοῦϲαι Ὀλύμπια δώματ' ἔχουϲαι,
ὅϲ τιϲ δὴ πρῶτοϲ βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸϲ ἐννοϲίγαιοϲ.
Αἴαϲ ῥα πρῶτοϲ Τελαμώνιοϲ Ὕρτιον οὖτα
Γυρτιάδην, Μυϲῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχοϲ καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνηϲ δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Τεῦκροϲ δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Ἀτρείδηϲ δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸϲ ἄφυϲϲε
δῃώϲαϲ· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔϲϲυτ' ἐπειγομένη, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
πλείϲτουϲ δ' Αἴαϲ εἷλεν, Ὀιλῆοϲ ταχὺϲ υἱόϲ·
οὐ γάρ οἵ τιϲ ὁμοῖοϲ ἐπιϲπέϲθαι ποϲὶν ἦεν
ἀνδρῶν τρεϲϲάντων, ὅτε τε Ζεὺϲ ἐν φόβον ὄρϲῃ.

# ΙΛΙΑΔΟϹ Ο.

Αὐτὰρ ἐπεὶ διά τε ϲκόλοπαϲ καὶ τάφρον ἔβηϲαν
φεύγοντεϲ, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερϲίν,
οἳ μὲν δὴ παρ' ὄχεϲφιν ἐρητύοντο μένοντεϲ,

V. l. 507 πάπτηνε H Flor. πάπτηινεν C. ὅπῃ A Schol. O 1. ὅποι EG ceteri ὅπη cum Cram. An. Ox. II, 337, 22. φύγει D. φύγῃ Cant. Lips. — 508 ἕϲπετε H. — 509 ἀνδράγρι' A. — 510 ἤιρατ' ACD. ἤρετο ἢ ἤρατο E. ἐπεί ῥ': ἐπεί περ Mor. μάχηϲ S. κλειτὸϲ C. — 511 αἴαϲ μὲν C. ῥὰ GL. οὖτα Lips. Flor. — 512 καρτερόθυμον S. — 513 φάλκυν Vrat. A. φάλτην Barocc. Mor. conf. N 791. ἐξενάριξε AC. — 515 ἐνήιρατο ACD. περιφήτην: πολυφήτην? cf. N 791. — 516 ἂρ ADGHL. — 517 οὖτα κατὰ λαπάρην DG. οὔταϲε καλλαπάρην ACEHLS Lips. Rom. γρ. οὖτα κατὰ λαπάρην A, conf. 447. οὔταϲε Schol. P 24. δια CH. διὰ τ' ἔντεα Mor. ἄφυϲϲε ACGHL. — 518 δηϊώϲαϲ H. — 519 ὄϲϲε κάλυψε DHL Cant. Townl. Vrat. d. ὄϲϲ' ἐκάλυψε ACG. — 520 ἄνδραϲ εἷλεν Ὀϊλῆοϲ ταχὺϲ Αἴαϲ Schol. K 110. — 521 γάρ οἱ τῖϲ H. — 522 ἔμφοβον C. ὄρϲῃ L Cant. ὄρϲη S. ὤρϲῃ G Vrat. d. Flor. ὄρϲηι (ε supra) A. ὦρϲεν CDH. ὦρϲε E Lips. Townl. Rom.

A. c. 509 ἀθετοῦϲι διὰ τὸ ξένον τῆϲ λέξεωϲ (ἀνδράγρια) Schol. ABL.

V. l. 2 ὕπο A. — 3 οἳ μὲν C. παρόχεϲφιν D.

χλωροὶ ὑπὸ δείους, πεφοβημένοι, ἔγρετο δὲ Ζεὺϲ
Ἴδηϲ ἐν κορυφῇϲι παρὰ χρυϲοθρόνου Ἥρηϲ.
ϲτῆ δ' ἄρ' ἀναΐξαϲ, ἴδε δὲ Τρῶαϲ καὶ Ἀχαιούϲ,
τοὺϲ μὲν ὀρινομένουϲ, τοὺϲ δὲ κλονέονταϲ ὄπιϲθεν
Ἀργείουϲ, μετὰ δέ ϲφι Ποϲειδάωνα ἄνακτα.
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
εἵαθ'· ὃ δ' ἀργαλέῳ ἔχετ' ἄϲθματι κῆρ ἀπινύϲϲων,
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατοϲ βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε,
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸϲ μῦθον ἔειπεν·
ἦ μάλα δὴ κακότεχνοϲ, ἀμήχανε, ϲὸϲ δόλοϲ, Ἥρη,
Ἕκτορα δῖον ἔπαυϲε μάχηϲ, ἐφόβηϲε δὲ λαούϲ.
οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίηϲ ἀλεγεινῆϲ
πρώτη ἐπαύρηαι καί ϲε πληγῇϲιν ἱμάϲϲω.
ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμοναϲ ἧκα δύω, περὶ χερϲὶ δὲ δεϲμὸν ἴηλα
χρύϲεον ἄρρηκτον; ϲὺ δ' ἐν αἰθέρι καὶ νεφέληϲιν
ἐκρέμω· ἠλάϲτεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
λῦϲαι δ' οὐκ ἐδύναντο παραϲταδόν· ὃν δὲ λάβοιμι,
ῥίπταϲκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧϲ θυμὸν ἀνίει

V. ι. 4 ὑπὸ Lips. Et. Mg. 262, 19. Bekk. An. 1209. libri ὑπαί. D ὕπαι. — 5 χρυϲοθρόνου A. — 6 ἂρ ADEGH. τρῷαϲ L. — 8 ποϲιδάωνα A, in marg. ποϲειδάωνα. — 9 ἀμφι D. — 10 εἵαθ' H. ὃ δ' D. ὅδ' CHL. — 11 ἀφαυρότεροϲ S Vrat. A. — 12 τόνδε H. — 13 προϲ CH. — 18 ἦ Schol. Λ 441. Ο 21. Ϲ 239. Φ 397. Heracl. Alleg. 40. Cram. An. Ox. IV, 379, 3. μέμνηϲ' Rhet. Gr. III, 244, 23. ὅτ' ἐκρέμω L post ras. Lips. Cant. Cram. An. Ox. IV, 379, 3. ὅτε ἐκρέμω Rhet. Gr. III, 244, 23. — 19 περι A. — 21 ἠλάϲτεον: ἐλάτεον S. ἠλάτεον Vrat. A. κατα A. — 23 ἀνίκηται G. — 24 ὀλιγηπελέων AHL. ὡϲ AD. θυμὸν AC 1. man. DH Lips. 1. man. Harl. Mosc. θυμὸϲ C ex corr. E ter GLS Lips. suprascr. ἀνΐει A. ἀνήει HL. ἀνῄει Cant. Vrat. d. ἀνίη Townl. οὐδ' ὧϲ θυμὸϲ ἀνῆκεν Jo. Alex. 32, 2.

A. c. 4 Aristarchus et Herodianus ὑπαί: ὕπαι Tyrannio. — 5 προϲτιθέαϲι δὲ καὶ τὸ „ἕζετο δ' ὀρθωθεὶϲ μαλακὸν δ' ἔνδυνε χιτῶνα“ (B 42) Schol. V. — 10 Herodianus εἵαθ': εἷαθ' Aristarchus. κῆρ ἀπινύϲϲων Aristarchus, Ptol. Ascalonita, Alexio, Herodianus: κῆρ ἀπινύϲκων Aristophanes. alii κῆρα πινύϲϲων. — 15 τινὲϲ ἐφόβηϲε δ' Ἀχαιούϲ Schol. V. — 17 οὕτω διὰ τοῦ η ἐπαύρηαι Didymus. ἐπαυρῆαι Tyrannio, conf. H. T. 228. — 18 διὰ τοῦ ηι μέμνηι εἶχον πᾶϲαι Didymus. — 18—31 Ζηνόδοτοϲ οὐδὲ ὅλωϲ τὴν κόλαϲιν τῆϲ ἥραϲ γράφει Schol. A. — 22 τινὲϲ γράφουϲι „πρίν γ' ὅτε (cod. πρὶν τότε) δή ϲ' ἀπέλυϲα πέδων, μύδρουϲ δ' ἐνὶ Τροίῃ κάββαλον, ὄφρα πέλοιτο καὶ ἐϲϲομένοιϲι πυθέϲθαι“ Schol. V, conf. Eust. 1003, 13. — 23 βηλοῦ: βήλου Crates. — 24 ἀρίϲταρ-

ἀζηχὴϲ ὀδύνη Ἡρακλῆοϲ θείοιο,
τὸν ϲὺ ξὺν βορέῃ ἀνέμῳ πεπιθοῦϲα θυέλλαϲ
πέμψαϲ ἐπ᾽ ἀτρύγετον πόντον, κακὰ μητιόωϲα,
καί μιν ἔπειτα Κόων δ᾽ εὖ ναιομένην ἀπένεικαϲ.
τὸν μὲν ἐγὼν ἔνθεν ῥυϲάμην καὶ ἀνήγαγον αὖτιϲ
Ἄργοϲ ἐϲ ἱππόβοτον καὶ πολλά περ ἀθλήϲαντα.
τῶν ϲ᾽ αὖτιϲ μνήϲω, ἵν᾽ ἀπολήξηϲ ἀπατάων,
ὄφρα ἴδῃ, ἤν τοι χραίϲμῃ φιλότηϲ τε καὶ εὐνή,
ἣν ἐμίγηϲ ἐλθοῦϲα θεῶν ἄπο καί μ᾽ ἀπάτηϲαϲ.
ὣϲ φάτο, ῥίγηϲεν δὲ βοῶπιϲ πότνια Ἥρη,
καί μιν φωνήϲαϲ᾽ ἔπεα πτερόεντα προϲηύδα·
ἴϲτω νῦν τόδε γαῖα καὶ οὐρανὸϲ εὐρὺϲ ὕπερθε
καὶ τὸ κατειβόμενον Ϲτυγὸϲ ὕδωρ, ὅϲ τε μέγιϲτοϲ
ὅρκοϲ δεινότατόϲ τε πέλει μακάρεϲϲι θεοῖϲι,
ϲή θ᾽ ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχοϲ αὐτῶν
κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόϲαιμι·
μὴ δι᾽ ἐμὴν ἰότητα Ποϲειδάων ἐνοϲίχθων
πημαίνει Τρῶάϲ τε καὶ Ἕκτορα, τοῖϲι δ᾽ ἀρήγει,
ἀλλά που αὐτὸν θυμὸϲ ἐποτρύνει καὶ ἀνώγει,
τειρομένουϲ δ᾽ ἐπὶ νηυϲὶν ἰδὼν ἐλέηϲεν Ἀχαιούϲ.
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθηϲαίμην
τῇ ἴμεν, ᾗ κεν δὴ ϲὺ κελαινεφὲϲ ἡγεμονεύῃϲ.

V. L. 26 ξυν A. ξυμβορέηι D cum Schol. Apoll. Rhod. I, 1300. — 27 μιτιόωϲα G. — 28 κόων sine δ᾽ Lips. conf. Ξ 255. εὖ ναιομένην AC DEGLS. — 29 ἐγὼ Lips. ἔνθεν: αὖτιϲ Cant. ἐρυϲάμην D. αὖτιϲ: αὖθϊϲ C (Vrat.). — 31 αὖθϊϲ C. τῶν αὖτιϲ Cant. ἀπολήξῃϲ DE Lips. Barocc. Vrat. A. — 32 ὄφρα ἴδῃϲ ACDE bis Mor. Townl. frgm. Mosc. Vrat d. Rom. Plutarchus de Aud. poët. 4. ὄφρ᾽ εἰδῇϲ GLS. ὄφρα ἴδοι Lips. ἤν τι EL. — 34 ὥϲ A. — 35 προϲηῦδα D. — 36 ὕπερθε ACDE frgm. Mosc. Vrat. A. Flor. Schol. Ο 21. Pausanias VIII, 18, 2 ὕπερθεν Schol. Θ 1. — 38 τε om. L. θεοῖϲι AGEGH. — 39 ἱερὰ D Lips. — 40 ἐγὼ ποτὲ L. — 41 ποϲιδάων A et in marg. ποϲειδάων. — 42 πημαίνειν Lips. τρῶαϲ L. — 43 omitt. frgm. Mosc. θυμὸϲ αὐτὸν L. — 45 κἀκείνῳ EG HLS. κακείνωι D. καὶ κείνῳ AC Ven. B. Cant. Harl. frgm. Mosc. Cram. Ep. 412, 28. — 46 τῇ C. ἡγεμονεύῃϲ AE Harl. frgm. Mosc. ἡγεμονεύειϲ CDHLS Cant. Barocc. Townl. Lips. Ven. B. Vrat. b. d. A. Flor. Rom. Suidas II, 2, 1098, 8. ἡγεμονεύοιϲ G.

A. c. χοϲ θυμόν, ἄλλοι δὲ θυμόϲ. ἔϲτι δὲ ὁ τῆϲ ὁμηρικῆϲ (cod. ἀριϲτάρχου) φράϲεωϲ χαρακτὴρ „οἵ ϲ᾽ ὠτειλῆϲ αἷμ᾽ ἀπολιχμήϲονται (Φ 122) Didymus. — 31 ἀπολήξηϲ: διὰ τοῦ ἑτέρου λ αἱ ἀριϲτάρχου Didymus. — 32 ἴδῃ Aristarchus. cf. H. T. 285. — 33 οὔτε παρὰ Ζηνοδότῳ οὔτε παρ᾽ Ἀριϲτοφάνει ἦν Didymus. — 44 τειρομένουϲ: κτεινομένουϲ Aristophanes, Argolica, Massiliensis, conf. Eust. 1005, 18. — 45 καὶ κείνῳ: ἐκ πλήρουϲ ἀρίϲταρχοϲ τὸν καί ϲύνδεϲμον Didymus.

ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
εἰ μὲν δὴ σύ γ᾽ ἔπειτα βοῶπι πότνια Ἥρη
ἶσον ἐμοὶ φρονέουσα μετ᾽ ἀθανάτοισι καθίζοις,
τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ᾽ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον.
ὄφρ᾽ ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ᾽ ἱκέσθαι,
Ἕκτορα δ᾽ ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων.
αὖτις δ᾽ ἐμπνεύσῃσι μένος, λελάθῃ δ᾽ ὀδυνάων,
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ᾽ ἐν νηυσὶ πολυκλήισι πέσωσι
Πηλείδεω Ἀχιλῆος· ὃ δ᾽ ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε πολέας ὀλέσαντ᾽ αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ᾽ υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.

---

V. l. 47 ὥς A. μείδησε H Lips. — 48 καί μιν φωνήσας Vrat. b. προσηῦδα D. — 49 βοῶπι AL: ceteri βοῶπις, conf. Θ 420. Σ 385. 424. Ω 88. ε 87. ω 192. de productione vocalis brevis ante π conf. H. U. 65. — 50 ἶσον D. καθίζεις ES Barocc. Townl. — 51 τῶ ACDHL: τῷ G. κεν G Flor. ποσιδάων A et in marg. ποσειδάων. γε omitt. Harl. Townl. — 52 μετατρέψειε S. μετα A. — 54 μετα A. κάλεσον G. ἐν ἄλλῳ κέλευσον A. — 55 κλιτότοξον G. χρυσότοξον C (κλῦτο 2. man. add.). — 56 ἣ μὲν C. ἀχαιῶν μετὰ λαὸν C. χαλκοχιτώνων A. — 57 ποσιδάωνι A. — 58 παυσαμένῳ E bis Rom. πολέμϊο G. — 59 μάχην ἒς A. — 60 αὖθϊς CL. ἀμπνεύσῃσι L. λελάθοι H frgm. Mosc. — 61 τείρουσιν κατα D. — 62 αὖθϊς C. ὑποστρέψῃσι Mor. — 63 πολυκλῖῃσι G. πέσωσι ACDEGH Schol. Ο 56: πέσωσιν L. — 64 ὃ δ᾽ D. ὃδ᾽ CGHL. ἀνστήσοι L. ἀνστήσῃ E. ἀνστήσειεν S. — 66 πολέας: πολεῖς ADEGHS et Heynii libri Schol. Ν 734. πολοὺς C. ὀλέσοντ᾽ A et in marg. ὀλέσαντ᾽. — 67 μετα H.

---

A. c. 49 ἀριστοφάνης μετὰ τοῦ σ βοῶπις. καὶ ἔστιν εὐφραδέστερον. Didymus. — 53 οὕτω διὰ τοῦ γε ἐτεόν γε καὶ ἀριστοφάνης Didymus. — 56–57 καὶ παρὰ ἀριστοφάνει ἠθέτηντο Didymus. — 63. 64 ἀθετοῦνται, ὅτι ψεῦδος Schol. A. — 64 ἀνστήσει ὃν Aristarchus: τινὲς ἀνστήσειεν Schol. A. — 64–77 Ζηνόδοτος οὐδ᾽ ὅλως ἔγραφεν Schol. A. — 66 Ἰλίου προπάροιθε conf. ad Β 325.

τοῦ δὲ χολωϲάμενοϲ κτενεῖ Ἕκτορα δῖοϲ Ἀχιλλεύϲ.
ἐκ τοῦ δ᾽ ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερέϲ, εἰϲ ὅ κ᾽ Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίηϲ διὰ βουλάϲ.
τὸ πρὶν δ᾽ οὔτ᾽ ἄρ᾽ ἐγὼ παύω χόλον οὔτέ τιν᾽ ἄλλον
ἀθανάτων Δαναοῖϲιν ἀμυνέμεν ἐνθάδ᾽ ἐάϲω,
πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ,
ὥϲ οἱ ὑπέϲτην πρῶτον, ἐμῷ δ᾽ ἐπένευϲα κάρητι,
ἤματι τῷ, ὅτ᾽ ἐμεῖο θεὰ Θέτιϲ ἥψατο γούνων,
λιϲϲομένη τιμῆϲαι Ἀχιλλῆα πτολίπορθον.
ὣϲ ἔφατ᾽, οὐδ᾽ ἀπίθηϲε θεὰ λευκώλενοϲ Ἥρη,
βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων ἐϲ μακρὸν Ὄλυμπον.
ὡϲ δ᾽ ὅτ᾽ ἂν ἀΐξῃ νόοϲ ἀνέροϲ, ὅϲ τ᾽ ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼϲ φρεϲὶ πευκαλίμῃϲι νοήϲῃ
„ἔνθ᾽ εἴην, ἢ ἔνθα,“ μενοινήῃϲί τε πολλά,
ὣϲ κραιπνῶϲ μεμαυῖα διέπτατο πότνια Ἥρη·
ἵκετο δ᾽ αἰπὺν Ὄλυμπον, ὁμηγερέεϲϲι δ᾽ ἐπῆλθεν
ἀθανάτοιϲι θεοῖϲι Διὸϲ δόμῳ· οἳ δὲ ἰδόντεϲ

V. ʟ. 68 ἀχῖλεύϲ C. — 69 ἐκ τοῦ δή τοι Cant. παλλίωξιν DH. — 70 εἰϲόκ᾽ libri. — 71 ἕλοιεν: ἕλωϲιν C Lips. 1. man. — 72 τοπρὶν EL. οὐ τὰρ H. ἂρ ADEGL. παύω AGL Harl. frgm. Mosc. παύϲω DEH Lips. παύ$^{c}$ω C. οὔτέ CGL. οὐτέ H. ἄλλον ACEGHL Harl. Lips. Ven. B. Vrat. b. d. A. frgm. Mosc.: ἄλλων D. — 75 πρώτωι C 1. man. — 76 ἤματι D. — 77 τιμῆϲαι: τῖϲαι Lips. ἀχιλῆα CD Lips. — 78 ὡϲ A. βοῶπιϲ πότνια ἥρη S Harl. — 79 βῆ δ᾽ ἐξ ἰδαίων S Harl. Lips. — 80 ὅτ᾽ ἂν ἀΐξῃ ADG Rom. Schol. Apoll. Rhod. II, 541. ὅταν ἀΐξῃ C Et. Mg. 342, 14. 606, 30. Et. Gud. 411, 46. Zonar. Lex. 1405. Cram. An. Ox. III, 22, 3. Schol. Λ 269. Υ 291. ὅτ᾽ ἂν vel ὅταν ἀΐξῃ Ven. B. Mor. frgm. Mosc. Vrat. b. ὅτ᾽ ἂν ἀΐξῃ ἢ ὅταν ἀΐξῃ E. ὅτ᾽ ἀναΐξῃ HL Lips. ἀΐξει S. — 81 ἐληλευθὼϲ H. ἐληλυθὼϲ Lips. νοήϲει E. νοήϲει$^{η}$ L. νοήϲοι Schol. Λ 269. — 82 εἴην ACD 1. man. (?) E Ven. B. Cram. An. Par. III, 20, 21. ἴην S. εἴη D post ras. GHL. frgm. Mosc. Vrat. d. Et. Mg. 342, 15 (ubi explicatur εἴην). Apoll. Soph. 111, 15 (ubi omitt. ἤ). ἔνθα ἴη ἢ Schol. Λ 269. εἴην, ἤην et εἴη Eust. 1007, 2. μενοινήϲειέ ACDEGHL Schol. Λ 269. Apoll. Soph. 111, 15. — 83 ὡϲ A. διέπτα Lips. — 84 ἀπῆλθεν S. — 85 οἳ δὲ C.

A. c. 69 ἡ διπλῆ ϲὺν ἀϲτερίϲκῳ (qui deest in codice), conf. Μ 71. — 71 αἰπὺ ἕλοιεν: ἀρίϲταρχοϲ ἴλιον ἐκπέρϲωϲιν Didymus. ἀθετεῖται, conf. Schol. Δ 46. Μ 115. — 72 οὕτωϲ ἀρίϲταρχοϲ χωρὶϲ τοῦ $\overline{c}$ παύω Didymus. ἄνευ τοῦ $\overline{c}$ οἱ περὶ Ἡρωδιανόν Schol. BLV. — 78 τινὲϲ μετὰ τοῦτον γράφουϲι „Ζῆν᾽ ὑποταρβήϲαϲα, νόοϲ δέ οἱ ἄλλα μενοίνα“ Schol. V. — 79 δὲ κατ᾽: δ᾽ ἐξ Zenodotus conf. Θ 410. — 82 οὕτωϲ ἀρίϲταρχοϲ ἔνθ᾽ εἴην μετὰ τοῦ $\overline{ν}$ καὶ διὰ τῶν β΄ $\overline{η}$ μενοινήηϲί τε Didymus.

πάντες ἀνήιξαν καὶ δεικανόωντο δέπαςςιν.
ἣ δ' ἄλλους μὲν ἔαςε, Θέμιςτι δὲ καλλιπαρήῳ
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουςα,
καί μιν φωνήςας' ἔπεα πτερόεντα προςηύδα·
"Ηρη, τίπτε βέβηκας; ἀτυζομένῃ δὲ ἔοικας.
ἦ μάλα δή ςε φόβηςε Κρόνου πάις, ὅς τοι ἀκοίτης.
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος "Ηρη·
μή με θεὰ Θέμι ταῦτα διείρεο· οἶςθα καὶ αὐτή,
οἷος κείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
ἀλλὰ ςύ γ' ἄρχε θεοῖςι δόμοις ἔνι δαιτὸς ἐίςης·
ταῦτα δὲ καὶ μετὰ πᾶςιν ἀκούςεαι ἀθανάτοιςιν,
οἷα Ζεὺς κακὰ ἔργα πιφαύςκεται· οὐδέ τί φημι
πᾶςιν ὁμῶς θυμὸν κεχαρηςέμεν, οὔτε βροτοῖςιν
οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων.
ἡ μὲν ἄρ' ὣς εἰποῦςα καθέζετο πότνια "Ηρη,
ὤχθηςαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἡ δὲ γέλαςςε
χείλεςιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύςι κυανέῃςιν
ἰάνθη· πᾶςιν δὲ νεμεςςηθεῖςα μετηύδα·
νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·
ἦ ἔτι μιν μέμαμεν καταπαυςέμεν ἆςςον ἰόντες,

---

V. l. 86 καὶ ἐδεικανόωντο CH Vrat. d. δεπάεςςιν D Vrat. A. — 87 ἣ δ' D. ἤδ' CGHL. ἔαςςε C edd. vett. καλλιπαρήῳ EGH. ceteri καλλιπαρήῳ. — 88 ἐναντίος L. ἦλθε φέρουςα Lips. Harl. frgm. Mosc. — 89 προςηῦδα D. — 91 ςε φόβηςε ADG: ceteri libri mei ς' ἐφόβηςε. πάϊς G: ceteri παῖς. ὅς τοι: ςός τοι Lips. ὅς τις frgm. Mosc. — 92 βοῶπις πότνια ἥρη S. ἐν ἄλλῳ βοῶπις πότνια A (?). — 93 διήρεο C. — 94 ἐκείνου ACDEGHLS Schol. O 97. οἷος θυμὸς ἐκείνου Lips. ἀπεινής Barocc. — 95 ἐνι G. — 96 μετα A. — 97 πιφάςςεται Mor. οὐδέ τι φημὶ ACDEGL. οὐδέ τε S. οὐδέ ἑ φημῖ H. γρ. ἑ Lips. — 98 θυμῷ H Vrat. b. d. κεχαρῖςαίμεν (ε above) C. — 99 εἴ πέρ τις ACDEHL. ἔτι omitt. G Flor. ἐΰφρων G, an δαίνυτ' ἐΰφρων? sed conf. H. U. 96. — 100 ἣ μὲν C. ἂρ ADGHL. ὥς D. — 101 ὄχθηςαν H Lips. Harl. Townl. Vrat. b. d. A. frgm. Mosc. ὤχθηςαν libri mei praeter H, Eust. conf. A 570. ἤδ' CHL. ἡ δὲ γέλαςςε A frgm. Mosc. ἐγέλαςςε CDGL. — 102 μετώπου L. κυανέοιςιν L. — 103 πᾶςι D. μετηῦδα D. προςηύδα H Townl. — 104 Ζηνὸς Barocc. ἀφρονέοντες (αδ above) A. ἀφραδέοντες C Mor. μενεαίνομεν ἰςοφαρίζειν Heracl. Alleg. 2. — 105 ἣ DG. ἠέ τι L Harl. ἄςςον A.

---

A. c. 86 δέπαςςιν Aristarchus: ἐπέεςςιν Zenodotus. ἐν ἐνίοις „κάλεόν τέ μιν εἰς ἓ ἕκαςτος" (ut Ψ 203) οὐκ εὖ Schol. A. — 94 ἐκείνου: κείνου Aristarchus. — 104 ἀφρονέοντες: κατ' ἔνια τῶν ὑπομνημάτων ἀφρονέοντα (sic) Didymus. τινὲς ἐριδαίνομεν ἀφρονέοντι Schol. V.

ἢ ἔπει ἠὲ βίῃ· ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ' ὄθεται· φηcὶν γὰρ ἐν ἀθανάτοιcι θεοῖcι
κάρτει τε cθένεΐ τε διακριδὸν εἶναι ἄριcτος.
τῷ ἔχεθ', ὅττί κεν ὔμμι κακὸν πέμπῃcιν ἑκάcτῳ.
ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηί γε πῆμα τετύχθαι·
υἱὸc γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀcκάλαφος, τόν φηcιν ὃν ἔμμεναι ὄβριμος Ἄρηc.
ὣc ἔφατ', αὐτὰρ Ἄρηc θαλερὼ πεπλήγετο μηρὼ
χερcὶ καταπρηνέcc', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
μὴ νῦν μοι νεμεcήcετ' Ὀλύμπια δώματ' ἔχοντες,
τίcαcθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν.
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ
κεῖcθαι ὁμοῦ νεκύεccι μεθ' αἵματι καὶ κονίῃcιν.
ὣc φάτο, καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
ζευγνύμεν, αὐτὸς δ' ἔντε' ἐδύcετο παμφανόωντα·
ἔνθά κ' ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοιcι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶcι περιδείcαcα θεοῖcιν
ὦρτο δι' ἐκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάαccε.
τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο καὶ cάκος ὤμων,
ἔγχος δ' ἔcτηcε cτιβαρῆς ἀπὸ χειρὸς ἑλοῦcα
χάλκεον· ἣ δ' ἐπέεccι καθάπτετο θοῦρον Ἄρηα·

V. l. 106 ὃ δ' D. ὅδ' CGHL. — 107 φηcὶ CDE Lips. Vrat. A. θεοῖcι ACDGH. — 108 κάρτεϊ libri. H κράτεϊ. — 109 τῶ ACDHL: τῷ EG. ότι D. ὅττί A. ὔμμϊ H. ἄμμι ἢ ὔμμι E — 111 ἔνι ACHL Schol. O 142. ἐνι D. ἐνὶ G. — 112 τὸν φηcὶν ACDEL. εἶναι C et man. rec. γρ. ἔμμεναι. ὄμβριμος CH. — 113 ὡς A. θαλερῷ . . . . μηρῷ D Et. Mg. 441, 40. — 114 δ' ἔπος ηὔδα AE Lips. Rom.: δὲ προcηύδα CGHLS. δὲ προcηῦδα (ε supr.) D. — 115 μοι omitt. L. — 116 τίcαcθαι A. τίcεcθαι Cant. — 117 εἰπέρ μοι ACEH. Schol. Z 488. Eust. 1002, 45. εἰπέρ D. — 118 κεῖcθ' H. αἵματος L. — 119 ὡς A. κέκλετο GL Flor. — 120 ἐδύcατο CS Vrat. A. Barocc. frgm. Mosc. Lips. ἐδύcατο (ε supr.) A. ἐδύccατο E. ἐδύccετο Rom. ἔντεα δύcετο L. παμφανόεντα Barocc. — 121 ἔνθά AC. κ' ἔτι ACH Lips. Townl. Vrat. d. κέ τι S Harl. Vrat. A. frgm. Mosc. κέ τις DEGL. — 122 παρ AD. — 123 ἀθηναίη D. περιδδείcαcα libri. — 124 δι' ἐκ ACDGHL. μὲν ἐκ ἢ δι' ἐκ E. θάαccε ACG. θάαcε Townl. — 126 ὤμοιιν H Vrat. d. — 126 ἔcτηcεν CD. cτηβαρῆς G. ἀπο A et supr. εκ. ἀπὸ DGH Harl. Mor. Vrat. A. ἐκ CL. ἀπὸ ἢ ἐκ E. — 127 ἥδ' CGHL. ἠδ' D. καθήπτετο Townl. 2. man.

A. c. 114 οὕτως καὶ ἡ ἀριcτάρχου καὶ πᾶcαι ἔπος ηὔδα, οὐ προcηύδα Didymus. conf. 398. — 123 περιδείcαcα, διὰ τοῦ ἑτέρου δ αἱ ἀριcτάρχου Didymus, conf. H. T. 390. — 127 ἣ δ' Aristarchus, alii ἠδ'. cf. H. T. 269.

μαινόμενε, φρένας ἠλέ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ᾽ ἀκουέμεν ἐςτί, νόος δ᾽ ἀπόλωλε καὶ αἰδώς.
οὐκ ἀίεις ἅ τέ φηςι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήςας κακὰ πολλὰ
ἂψ ἴμεν Οὔλυμπον δὲ καὶ ἀχνύμενός περ ἀνάγκῃ,
αὐτὰρ τοῖς ἄλλοιςι κακὸν μέγα πᾶςι φυτεῦςαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὃ δ᾽ ἡμέας εἶςι κυδοιμήςων ἐς Ὄλυμπον,
μάρψει δ᾽ ἑξείης ὅς τ᾽ αἴτιος ὅς τε καὶ οὐκί.
τῶ ς᾽ αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
ἢ πέφατ᾽ ἢ καὶ ἔπειτα πεφήςεται· ἀργαλέον δὲ
πάντων ἀνθρώπων ῥῦςθαι γενεήν τε τόκον τε.
ὣς εἰποῦς᾽ ἵδρυςε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ᾽ Ἀπόλλωνα καλέςςατο δώματος ἐκτὸς
Ἶρίν θ᾽, ἥ τε θεοῖςι μετάγγελος ἀθανάτοιςι·
καί ςφεας φωνήςας᾽ ἔπεα πτερόεντα προςηύδα·
Ζεὺς ςφὼ εἰς Ἴδην κέλετ᾽ ἐλθέμεν ὅττι τάχιςτα·
αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ᾽ εἰς ὦπα ἴδηςθε,
ἔρδειν, ὅττί κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.

V. l. 128 μαινόμενε: δαιμόνιε Et. Mg. 68, 46. Et. Gud. 38, 36. Zonar. Lex. 140. Cram. An. Par. IV, 109, 27. ἠλὲ: ἠλεὲ D. 2. man. HL Vrat. A. Flor. Apoll. Soph. 83, 19. Schol. Υ 67. ἤ CD Lips. αὔτως EGH. αὐτως A. — 129 δ᾽ omitt. G. ἀπόλωλε καὶ αὐτὸς Barocc. Mor. — 130 ἅ, τε, φηςὶ A. ἅτε φηςὶ CDE (φηςὶν) GHL. — 131 ἤδη Lips. παρ ADG. εἰληλούθει L. — 132 ἢ CDEL. ἠὲ θέλεις G Flor. — 133 οὔλυμπον δὲ AD. — 134 αὐτὰρ ὃ τοῖς G Vrat. A. Flor. μέγα πῆμα S. ἐν ἄλλῳ πῆμα φυτεῦςαι A. — 135 τρῶας L. — 136 ὃ δ᾽ AD. ὅδ᾽ CGHL. εἰς H. ἐςόλυμπον A. — 137 ἐξείης G. — 138 τῶ ACDH: τῷ GL. ἑῆος ACDGL
ἦος
Schol. Ω 528. ἑοῖο H. γρ. ἑοῖο L. — 139 τοῦ γε AL Townl. Vrat. b: τοῦδε CDEGH. — 140 πεφάςςεται S Vat. — 141 ῥύςθαι D. — 142 ἔνι ACEGHL: ἐνὶ D. — 144 θ᾽ erasum in L. μετ᾽ ἄγγελος ACLS Mor. Vrat. b. frgm. Mosc. μετάγγελος DEGH. εἰ δὲ γράφεται θεοῖςι μέτ᾽ ἄγγελος, οὐκ ἂν εἴη ἀπῳδόν Eust. 1009, 51. ἀθανάτοιςι ACDG. — 145 προςηῦδα D. — 146 εἰςΐδην A. κέλεται L. ἐλθεῖν ES. — 147 τ᾽ omitt. L. εἰςῶπα AD. ἰδέςθαι L. ἴδεςθε Lips. — 148 ἔρδειν HL. ὅττί A. ὅ, ττι G. ὅτι D. κ᾽ ἐκεῖνος S Vat. Vrat. b. κἀκεῖνος D. ἐποτρύνει καὶ ἀνώγει DS Vat. Vrat. b. ἀνώγει H, sed ἐποτρύνῃ.

A. c. 134 κακὸν μέγα πᾶςι Aristophanes: Zenodotus θεοῖς μέγα πῆμα. — 138 ἑῆος: ἑοῖο Zenodotus. — 139 τοῦ γε: Ζηνόδοτος καὶ ἀριςτοφάνης τοῦδε Didymus. — 147, 148 ἀθετοῦνται. καὶ ἀριςτοφάνης προηθέτει Schol. A.

ἣ μὲν ἄρ᾽ ὣς εἰποῦςα πάλιν κίε πότνια Ἥρη,
ἕζετο δ᾽ εἰνὶ θρόνῳ· τὼ δ᾽ ἀΐξαντε πετέςθην.
Ἴδην δ᾽ ἵκανον πολυπίδακα, μητέρα θηρῶν,
εὗρον δ᾽ εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐςτεφάνωτο.
τὼ δὲ πάροιθ᾽ ἐλθόντε Διὸς νεφεληγερέταο
ςτήτην· οὐδέ ςφωιν ἰδὼν ἐχολώςατο θυμῷ,
ὅττί οἱ ὦκ᾽ ἐπέεςςι φίλης ἀλόχοιο πιθέςθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προςηύδα·
βάςκ᾽ ἴθι Ἶρι ταχεῖα, Ποςειδάωνι ἄνακτι
πάντα τάδ᾽ ἀγγεῖλαι, μὴ δὲ ψευδάγγελος εἶναι.
παυςάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεςθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεςς᾽ ἐπιπείςεται, ἀλλ᾽ ἀλογήςει,
φραζέςθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
μή μ᾽ οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάςςῃ
μεῖναι, ἐπεί εὕ φημι βίῃ πολὺ φέρτερος εἶναι
καὶ γενεῇ πρότερος· τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
ἶςον ἐμοὶ φάςθαι, τόν τε ςτυγέουςι καὶ ἄλλοι.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθηςε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα

V. L. 149 ἥ μὲν C. ἆρ ADHL. — 150 ἐνὶ D. ἀναΐξαντε S. — 151 ἴδην θ᾽ (δ above θ) Mor. πολυπῖθακα C. — 152 ἀνα A. — 153 ἀμφι D. — 155 οὐδὲ ςφῶϊν GH. ςφῶϊν D (acc. 2. man.) θυμῷ: θυμὸν D. — 156 ὅττί οἱ AH. ἐπέεςςιν D. πιθέςθαι Lips. — 157 ἴριν D. πρότερον S. προςηῦδα D (acc. 2. man.). — 158 ποςιδάωνι A et in marg. ποςειδάωνι. ΠΟCΙΔΑΩΝΙ Syr. — 159 μὴ δὲ CDGHL. — 161 ἔρχεςθαι: ἔρχεςθ᾽ ἢ LS Vat. γρ. ἔρχεςθ᾽ ἢ μεταφύλα A. — 162 ἐπέεςςϊν C Lips. ἐπιπείςεται: ἐπιπείθεται Et. Mg. 69, 39. „in ed. Flor. et Aldd. erat cum codd. parte ἐπέεςςι πεπείςεται“ Heyne. — 163 δ᾽ ἤπειτα A. δήπειτα H. δή ᾽πειθα E. δ᾽ ἤπειτα CDGL Townl. Vrat. b. d. A. frgm. Mosc. Flor. ΔΗΠΕΙΤΑ Syr. κατα A. — 164 ΟΎΔΕ Syr. καρτερός C Lips. ἐπειόντα παλάςθαι S. — 165 ἔο φημὶ CDEGHLS. ἐπεί, εὐ φημὶ A. ἐπεὶ εὖ frgm. Mosc. ἐπεί εὔ φημι Bekk. An. 1146. πολυφέρτερος A. — 167 φᾶςθαι ACDGHL Lips. — 168 ὡς A. — 169 κατ᾽ Ἰδαίων: μετ᾽ ἰδέων L. — 170 ὅτ᾽ ἂν ADGH 1. man. Lips.: ὅταν CEH 2. man. L.

A. c. 159 ἀγγεῖλαι Herodianus, non ἄγγειλαι. — 162 μοι: μου Ammonius. — 164 ταλάςςῃ: τινὲς θελήςῃ Schol. V. — 166, 167 ἀθετοῦνται. asterisci, ὀρθῶς 182, 183. — 169 δὲ κατ᾽: ὅτι Ζηνόδοτος γράφει ἐξ ἰδαίων Aristonicus, conf. 79.

ψυχρὴ ὑπὸ ῥιπῆϲ αἰθρηγενέοϲ βορέαο,
ὣϲ κραιπνῶϲ μεμαυῖα διέπτατο ὠκέα Ἶριϲ,
ἀγχοῦ δ' ἱϲταμένη προϲέφη κλυτὸν ἐννοϲίγαιον·
ἀγγελίην τινά τοι γαιήοχε κυανοχαῖτα
ἦλθον δεῦρο φέρουϲα παραὶ Διὸϲ αἰγιόχοιο.
παυϲάμενόν ϲ' ἐκέλευϲε μάχηϲ ἠδὲ πτολέμοιο
ἔρχεϲθαι μετὰ φῦλα θεῶν ἢ εἰϲ ἅλα δῖαν.
εἰ δέ οἱ οὐκ ἐπέεϲϲ' ἐπιπείϲεαι, ἀλλ' ἀλογήϲειϲ,
ἠπείλει καὶ κεῖνοϲ ἐναντίβιον πολεμίξων
ἐνθάδ' ἐλεύϲεϲθαι· ϲὲ δ' ὑπεξαλέαϲθαι ἀνώγει
χεῖραϲ, ἐπεὶ ϲέο φηϲὶ βίῃ πολὺ φέρτεροϲ εἶναι
καὶ γενεῇ πρότεροϲ· ϲὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶϲόν οἱ φάϲθαι, τόν τε ϲτυγέουϲι καὶ ἄλλοι.
τὴν δὲ μέγ' ὀχθήϲαϲ προϲέφη κλυτὸϲ ἐννοϲίγαιοϲ·
ὢ πόποι, ἦ ῥ' ἀγαθόϲ περ ἐὼν ὑπέροπλον ἔειπεν,
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
τρεῖϲ γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓϲ τέκετο Ῥέα,

---

V. l. 171 ὑπὸ: ὑπαὶ ACDEGHLS. ΥΠΟ Syr. conf. Μ 462. Ξ 414. Τ 358. Φ 12. H. U. 62. αἰθρηγενέοϲ A. αἰθριγενέοϲ L. — 172 ὡϲ AD 1. man. — 174 κυανοχαῖτα A. — 175 παραι D. παρὰ Apoll. Soph. 7, 10. πὰρ Lips. — 176 ϲ' ἐκέλευϲε: ϲε κέλευϲε ES Syr. Cant. Townl. ϲε κέλευε Vrat. b. frgm. Mosc. γρ. κέλευε A. ϲε κέλεται AC Lips. (an κέλεταί ϲε) conf. Β 28. 65. — 177 ἔρχεϲθαι ACDHL Syr. Cant. Barocc. Harl. Lips. Townl. frgm. Mosc. Vrat. b. d. ἔρχεϲθ' ἢ GS conf. 161. — 179 καὶ κεῖνοϲ ACEHL Lips. Vrat. b. d. frgm. Mosc. Rom. ΚΑΙΚ[ΕΙ͂ΝΟϹ] Syr. κἀκεῖνοϲ GS Schol. Θ 150. κακεῖνοϲ D. πολεμίξων AL Cant. Mor. Lips. Townl. Vrat. d. A. πτολεμίξων DH: πολεμίζων ES Syr. Schol. Θ 150. πτολεμίζων CG Vrat. b. — 180 ὑπεξαλέϲθαι L. ἄνωγε DS Harl. Vat. — 181 ΒΙΗΦΙ Syr. πολὺφέρτεροϲ DG. — 182 ὤθεται (ο superscr.) C. — 183 ΙϹΟΝΕΜΟΙ Syr. οἱ ACDHL: οἷ G. φάϲθαι HL: φᾶϲθαι ACDG Lips. τόν τοι C. — 184 τήνδε GL. — 185 ὦ πόποι AGH. — 186 καθέζει G. — 187 τ' omitt. D Vrat. A. τε κρόνου Syr. Lips. Pseudopl. 126, 12. τεκρόνου (,,κ superscr.) H. γρ. ἐκ κρόνου Lips. τὸ δὲ τρεῖϲ γάρ τ' ἐκ Κρόνου γράφεται καὶ δίχα προθέϲεωϲ τρεῖϲ γάρ τε Κρόνου Eust. 1012, 25. τέκετο ῥέα libri mei praeter G (τέκε ῥήη) et Cant. Barocc. Harl. Townl. Vrat. d. A. τέκε Ῥεῖα Pseudopl. 126, 12. γράφεται οὓϲ τέκε Ῥέα κατά τινα τῶν ἀντιγράφων Eust. 1012, 34. alii τέκε Ῥείη teste Eust. 1012, 35. τέκε ῥέα frgm. Mosc. Vrat. b.

---

A. c. 179 καὶ κεῖνοϲ: ἐκ πλήρουϲ τὸν [καὶ] ϲύνδεϲμον ἀρίϲταρχοϲ Didymus. πολεμίξων: Ζηνόδοτοϲ διὰ τοῦ ζ̄ Didymus. πολεμίξων δὲ διὰ τοῦ ξ̄. Ἀρίϲταρχοϲ δὲ διὰ τοῦ ϲ̄ (ζ?) Schol. V, cui fidem non habeo. — 182, 183 asterisci, κακῶϲ 166, 167. — 187 τ' ἐκ Κρόνου: οὕτωϲ ἀρίϲταρχοϲ διὰ τῶν β' κ̄.

Ζεὺϲ καὶ ἐγώ, τρίτατοϲ δ' Ἀίδηϲ, ἐνέροιϲιν ἀνάϲϲων.
τριχθὰ δὲ πάντα δέδαϲται, ἕκαϲτοϲ δ' ἔμμορε τιμῆϲ·
ἤ τοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀίδηϲ δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺϲ δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃϲι·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸϲ Ὄλυμποϲ.
τῶ ῥα καὶ οὔ τι Διὸϲ βέομαι φρεϲίν, ἀλλὰ ἕκηλοϲ
καὶ κρατερόϲ περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερϲὶ δὲ μή τί με πάγχυ κακὸν ὣϲ δειδιϲϲέϲθω.
θυγατέρεϲϲιν γάρ τε καὶ υἱάϲι βέλτερον εἴη
ἐκπάγλοιϲ ἐπέεϲϲιν ἐνιϲϲέμεν, οὓϲ τέκεν αὐτόϲ,
οἵ ἕθεν ὀτρύνοντοϲ ἀκούϲονται καὶ ἀνάγκῃ.
τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμοϲ ὠκέα Ἶριϲ·
οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταϲτρέψειϲ; ϲτρεπταὶ μέν τε φρένεϲ ἐϲθλῶν.
οἶϲθ' ὡϲ πρεϲβυτέροιϲιν ἐρινύεϲ αἰὲν ἕπονται.
τὴν δ' αὖτε προϲέειπε Ποϲειδάων ἐνοϲίχθων·
Ἶρι θεά, μάλα τοῦτο ἔποϲ κατὰ μοῖραν ἔειπεϲ·
ἐϲθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελοϲ αἴϲιμα εἰδῇ.

---

V. L. 190 ἤτοι libri et Schol. O 21. — 191 παλλομένην Schol. O 21. ἔλαχεν H. 1. man. δὲ λάχεν Schol. O 21. — 192 δὲ λάχ' Schol. O 21. δ' ἔλαχεν L. ἐν omitt. G. νεφέλῃϲι ACDEG: νεφέλῃϲιν L Schol. O 21. νεφέεϲϲιν Schol. Π 365. — 193 δ' ἔτι ACEGL Schol. O 58. 189. Υ 58. ε 244. δέ τι DH Suidas II, 2, 1221, 9. Schol. O 21. δέ τοι S, alterum Schol. O 21. — 194 τῶ ACDL Syr. τῷ EGH Et. Mg. 196, 11, ibid. βείομαι. ῥὰ D 2. man. HL. — 195 ἔνι A. ἐνὶ G. μοῖρα D. μοίρᾳ L. — 196 μή τί AEHL. ὥϲ AD 1. man. δειδίϲϲεϲθαι L. ΔΕΙΔΙΞΈϹΘΩ Syr. — 197 θυγατέρεϲϲι G Lips. Flor. Cram. An. Ox. II, 331, 11. υἱάϲιν D. κέρδιον ACDGHL Syr. et Heynii libri praeter Vat. Cram. An. Ox. II, 331, 11. κέρδιον ἢ βέλτερον E. εἴη: εἶναι HL Vrat. d. — 198 αἰνιϲϲέμεν D. ΕΝΙϹΝΕΜΕΝ (with Ϲ written above) Syr. (alterum c man. rec.). — 199 οἵ ἕθεν A Schol. O 258. οἱ ἔθεν D (acc. et spirit. 2. man.). οἳ ἔθεν CEGHL Schol. A 114. — 202 φέρο G. — 203 ἢ τὶ L. ΗΤΕ Syr. εἴ τι Lips. μέν τε: μέν τοι L. δή τοι S. δέ τε Stob. floril. XX, 42. δέ τοι Eust. 625, 9. 1338, 16. τρεπταὶ δέ τοι Cram. An. Par. III, 385, 9. — 204 πρεϲβυτάτοιϲιν S Vat. ἐριννύεϲ CDEGL Syr. — 205 ποϲιδάων A in textu Syr. 1. man. — 206 μᾶλα D. κατα A. νημερτὲϲ ἢ κατὰ μοῖραν E.

---

A. c. 192 εὐρὺν: ὅτι Ζηνόδοτοϲ αἰπύν Aristonicus. — 197 ἀρίϲταρχοϲ βέλτερον εἴη Didymus. Aristophanes κάλλιον, κέρδιον, οἱ εἰκαιότεροι. — 197 τινὲϲ υἱέϲιν Schol. V. — 207 εἰδῇ: Ζηνόδοτοϲ διὰ τοῦ π̄ εἴπῃ Didymus.

ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ' ἂν ἰςόμορον καὶ ὁμῇ πεπρωμένον αἴςῃ
νεικείειν ἐθέλῃςι χολωτοῖςιν ἐπέεςςιν.
ἀλλ' ἤ τοι νῦν μέν γε νεμεςςηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήςω τό γε θυμῷ·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίςτοιο ἄνακτος
Ἰλίου αἰπεινῆς πεφιδήςεται, οὐδ' ἐθελήςει
ἐκπέρςαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοιςιν,
ἴςτω τοῦθ', ὅτι νῶιν ἀνήκεςτος χόλος ἔςται.
  ὣς εἰπὼν λίπε λαὸν Ἀχαιικὸν ἐννοςίγαιος,
δῦνε δὲ πόντον ἰών, πόθεςαν δ' ἥρωες Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προςέφη νεφεληγερέτα Ζεύς·
  ἔρχεο νῦν φίλε Φοῖβε μεθ' Ἕκτορα χαλκοκορυςτήν·
ἤδη μὲν γάρ τοι γαιήοχος ἐννοςίγαιος
οἴχεται εἰς ἅλα δῖαν ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ νέρτεροί εἰςι θεοί, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεςςηθεὶς ὑπόειξε
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γε τελέςθη.
ἀλλὰ cύ γ' ἐν χείρεςςι λάβ' αἰγίδα θυςςανόεςςαν,
τῇ μάλ' ἐπιςςείων φοβέειν ἥρωας Ἀχαιούς·

V. L. 209 ὁππόταν CGL Syr. Schol. Z 488. ἰςόμοιρον D Lips. Flor. 211 εἴ τι pro ἤτοι L. μέν κεν S. — 214 ΗΡΗϹΘ' Syr. τὲ H. — 215 οὐδὲ θελήςει S. οὐδὲ ἐθελήςει D. — 216 δοῦναί τε S Vat. — 217 νῶϊ D. ἀνήκεςτον ἄλγος Schol. Pind. Ol. VI, 12. — 218 ὥς A. ἀχαϊκὸν S. — 220 ἀπόλλονα G. — 221 φοῖβε omitt. H. — 223 ἀλευόμενος H. — 224 γάρ τε ACD Cant. Townl. Flor. γὰρ καὶ S. vulgo γάρ κε cum Eust. et Schol. A 399. — 225 νέρτεροί CHGS Schol. A 399. Herodianus π.
ἐ
μονήρ. λέξ. 45, 27. Cram. Epim. 66, 30. νέρτεροί A. ἐνέρτεροί DEL Mor. Cant. Townl. Lips. frgm. Mosc. Rom. — 226 πολυκέρδιον D. ἠδέ οἱ EGHLS ἠδὲ οἳ D: vulgo ἠδὲ οἷ cum AC Apoll. de Synt. 144, 13. de Pron. 54 B. Schol. Є 64. — 227 ἔπλετο omitt. L. ὑπόειξε ACDEGH. — 228 οὔτι D pro οὔ κεν. γε τελέςθη C: ceteri γ' ἐτελέςθη. — 229 θυςανόεςςαν CDEGS Lips. 1. man. Townl. frgm. Mosc. al. — 230 τῇ ADS Harl. Vrat. d. Townl. frgm. Mos. Flor. Schol. X 221. τῇ H. 1. man. L. τὴν CEGH ex corr. ἐπιςείων E Barocc. Lips. Vrat. d.

A. c. 211 ἀρίςταρχος νῦν μέν γε, ἄλλοι δὲ νῦν μέν κε Didymus. — 212—217 ἀθετοῦνται. — 214 τινὲς Ἥρης Ἡφαίςτου τε καὶ Ἑρμείαο Schol. A. — 225 οἵπερ νέρτεροί εἰςιν: ὅτι Ζηνόδοτος γράφει οἵπερ νέρτατοι Aristonicus, conf. Є 893. Υ 57. — 226 οἱ Ptolemaeus Ascalonita ἐγκλιτικῶς: οἳ Herodianus, conf. H. U. 141.

cοὶ δ' αὐτῷ μελέτω ἑκατηβόλε φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήςποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράςομαι ἔργόν τε ἔπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύςωςι πόνοιο.
ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούςτηςεν Ἀπόλλων,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἴρηκι ἐοικὼς
ὠκέι φαςςοφόνῳ, ὅς τ' ὤκιςτος πετεηνῶν.
εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
ἥμενον, οὐδ' ἔτι κεῖτο, νέον δ' ἐςαγείρετο θυμόν,
ἀμφὶ ἓ γιγνώςκων ἑτάρους· ἀτὰρ ἆςθμα καὶ ἱδρὼς
παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ' ἱςτάμενος προςέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τί ἦ δὲ cὺ νόςφιν ἀπ'ἄλλων
ἧς' ὀλιγηπελέων; ἦ πού τί cε κῆδος ἱκάνει;
τὸν δ' ὀλιγοδρανέων προςέφη κορυθαίολος Ἕκτωρ·
τίς δὲ cύ ἐςςι φέριςτε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
οὐκ άίεις ὅ με νηυςὶν ἔπι πρυμνῇςιν Ἀχαιῶν
οὓς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς βάλεν Αἴας
χερμαδίῳ πρὸς ςτῆθος, ἔπαυςε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἐγώ γ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀίδαο
ἤματι τῷδ' ἵξεςθαι, ἐπεὶ φίλον ἄιον ἦτορ.

---

V. l. 232 οὖν οἶ D. οἶ H. μέγα τόφῤᾶν D. — 233 ἵκονται E. — 234 ἔργόν τε H. — 235 ὥς $\overset{τ}{κε}$ A. ὥς τε E Vrat. A. Rom. αὖθϊς C. — 236 ὡς A. — 237 ἴρηκι D. ἶρηκι A. — 238 φαςςοφόνωι A. — 239 εὗρε δ' υἱὸν L. — 240 οὐδ' ἔτι: οὐδέ τι DGHL Lips. Vrat. d. Rom. ·ἐςαγείρατο CDE. εἰςαγείρατο H. ἐςαγείρετο AGL Harl. Vat. — 241 ἀμφί ἕ D ex corr. E. γιγνώςκων L Lips.: γινώςκων ACDEGH. — 244 τί ἠ A: ceteri τίη. δε H. — 245 ὀλιγηπελέων A. πού τι cε A. ποῦ τι cε C. ποῦ τί cε D. που τί cε HL. — 246 ὀλιγοδρανέων A. κορυθαιόλος AD man. rec. Flor. Rom. προςέφη ἑκάεργος ἀπόλλων D 1. man. — 247 δε H. cὺ ἐςςὶ HL. — 248 ἐπὶ ACGHL. ἐπι D. — 249 ὀλέκοντα: γρ. ςτέλλοντα Lips. — 251 καὶ μὴν ἔγωγ' H. — 252 ἤματι D. τῶδε L. ἵξεςθαι: ὄψεςθαι ACDEGHLS et Heynii libri.

---

A. c. 231—235 ἀθετοῦνται. καὶ παρὰ ἀριςτοφάνει ἠθετοῦντο Schol. A. — 232 ὄφρ' ἂν: διὰ τοῦ τ̄ τόφρ' ἂν ἀχαιοί οἱ ἀριςτάρχου Didymus. — 240 οὕτως ἀρίςταρχος διὰ τοῦ ο̄ ἐςαγείρετο παρατατικῶς. ἄλλοι δὲ ἐςαγείρατο διὰ τοῦ ᾱ Didymus. — 241 ἀμφὶ ἓ Apollodorus: alii ἀμφίε Cram. Epim. 66, 30. ὀρθοτονητέον τὴν ἕ Herodianus. — 252 ἀρίςταρχος ἵξεςθαι, καὶ [ἔςτιν] οὐκ ἄχαρις ἡ γραφή Didymus.

τὸν δ᾽ αὖτε προcέειπεν ἄναξ ἑκάεργοc Ἀπόλλων·
θάρcει νῦν· τοῖόν τοι ἀοccητῆρα Κρονίων
ἐξ Ἴδηc προέηκε παρεcτάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυcάορον, ὅc cε πάροc γε
ῥύομ᾽, ὁμῶc αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ᾽ ἄγε νυν ἱππεῦcιν ἐπότρυνον πολέεccι
νηυcὶν ἔπι γλαφυρῇcιν ἐλαυνέμεν ὠκέαc ἵππουc·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποιcι κέλευθον
πᾶcαν λειανέω, τρέψω δ᾽ ἥρωαc Ἀχαιούc.
ὣc εἰπὼν ἔμπνευcε μένοc μέγα ποιμένι λαῶν.
ὡc δ᾽ ὅτε τιc cτατὸc ἵπποc ἀκοcτήcαc ἐπὶ φάτνῃ,
δεcμὸν ἀποῤῥήξαc, θείῃ πεδίοιο κροαίνων,
εἰωθὼc λούεcθαι ἐϋῤῥεῖοc ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοιc ἀΐccονται· ὃ δ᾽ ἀγλαΐηφι πεποιθώc,
ῥίμφά ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
ὣc Ἕκτωρ λαιψηρὰ πόδαc καὶ γούνατ᾽ ἐνώμα
ὀτρύνων ἱππῆαc, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
οἱ δ᾽ ὥc τ᾽ ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐccεύαντο κύνεc τε καὶ ἀνέρεc ἀγροιῶται·
τὸν μέν τ᾽ ἠλίβατοc πέτρη καὶ δάcκιοc ὕλη
εἰρύcατ᾽, οὐδ᾽ ἄρα τέ cφι κιχήμεναι αἴcιμον ἦεν·

---

V. l. 253 ἄναξ διὸc υἱὸc C Lips. — 255 παριcτάμεναι Vrat. d. frgm. Mosc. — 256 πάροc γε CDHLS Lips. Harl. Mor. Vrat. d. frgm. Mosc. πάροcπερ [γε] A. vulgo πάροc περ, conf. ad Ν 465. — 258 ἀλλά γε Vrat. d. πολέεccι ACGH. — 259 omitt. D in textu, habet in marg. 2. man. ἐπὶ CDGHL. ἐπι A. γλαφυροῖcιν D. ἐλαύνειν S Vat. — 260 προπάροιθεν ἰὼν Lips. κέλευθον: κελεύcω C et sup. man. rec. γρ. κέλευθον. — 261 ἐc μόθον διϊέναι C et sup. man. rec. γρ. πᾶcαν λειανέω. — 262 omitt. L. ὡc A. ἔπνευcε Vrat. b. A. — 263 ἐπι A. φάτνηc Et. Mg. 51, 10. — 264 δεcμὰ διαῤῥήξαc θείῃ πεδίονδε Et. Mg. 51, 12. θείει D. — 265 ἐϋρρῆο S. ἐϋρρῆοc [ει] L. εὐρρεῖοc H. — 266 ἔχῃ Vrat. d. — 266 ὤμοιc᾽ A. ἀγλαΐccονται S. ὃ δ᾽ D. ὅδ᾽ CGHL. ἀγλαΐηιφι C. — 268 ῥίμφά ἑ ACDHL. — 271 οἵδ᾽ CGHL. — 272 ἐccεύοντο ACDEGHL et Heynii libri, conf. Λ 549. — 274 τί cφι S Vat.

---

A. c. 265—268 ἀθετοῦνται. asterisci, ὀρθῶc Ζ 508—511. dissentit a se Aristonicus, vid. Schol. Ζ 506, ubi sex versibus asteriscos adpictos esse confirmat. Ζηνόδοτοc τοῦτον μόνον γράφει. Ἀρίcταρχοc δὲ καὶ τοὺc ἄλλουc τρεῖc Schol. V. — 272 ἀρίcταρχοc ἐccεύαντο διὰ τοῦ ᾱ, καὶ ἅπαcαι Didymus.

τῶν δέ θ᾽ ὑπὸ ἰαχῆϲ ἐφάνη λὶϲ ἠυγένειοϲ
εἰϲ ὁδόν, αἶψα δὲ πάνταϲ ἀπέτραπε καὶ μεμαῶταϲ·
ὣϲ Δαναοὶ εἵωϲ μὲν ὁμιλαδὸν αἰὲν ἕποντο
νύϲϲοντεϲ ξίφεϲίν τε καὶ ἔγχεϲιν ἀμφιγύοιϲιν·
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ᾽ ἐποιχόμενον ϲτίχαϲ ἀνδρῶν,
τάρβηϲαν, πᾶϲιν δὲ παραὶ ποϲὶ κάππεϲε θυμόϲ.
τοῖϲι δ᾽ ἔπειτ᾽ ἀγόρευε Θόαϲ, Ἀνδραίμονοϲ υἱόϲ,
Αἰτωλῶν ὄχ᾽ ἄριϲτοϲ, ἐπιϲτάμενοϲ μὲν ἄκοντι,
ἐϲθλὸϲ δ᾽ ἐν ϲταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίϲϲειαν περὶ μύθων·
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖϲιν ὁρῶμαι·
οἷον δὴ αὖτ᾽ ἐξαῦτιϲ ἀνέϲτη κῆραϲ ἀλύξαϲ
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸϲ ἑκάϲτου
χερϲὶν ὑπ᾽ Αἴαντοϲ θανέειν Τελαμωνιάδαο.
ἀλλά τιϲ αὖτε θεῶν ἐρρύϲατο καὶ ἐϲάωϲεν
Ἕκτορ᾽, ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ᾽ ἔλυϲεν,
ὡϲ καὶ νῦν ἔϲϲεϲθαι ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸϲ ἐριγδούπου πρόμοϲ ἵϲταται ὧδε μενοινῶν.
ἀλλ᾽ ἄγεθ᾽, ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ.
πληθὺν μὲν ποτὶ νῆαϲ ἀνώξομεν ἀπονέεϲθαι·
αὐτοὶ δ᾽, ὅϲϲοι ἄριϲτοι ἐνὶ ϲτρατῷ εὐχόμεθ᾽ εἶναι,
ϲτείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάϲαντεϲ,
δούρατ᾽ ἀναϲχόμενοι· τὸν δ᾽ οἴω καὶ μεμαῶτα

V. ʟ. 275 ὑπαὶ GL: ὑπὸ ACDEH Lips. Mor. Townl. frgm. Mosc. λῖϲ GS. — 276 ἀπέτρεπε Lips. — 277 ὡϲ A. — 279 ἴδ$\overset{\text{ο}}{\text{ω}}$ν H. ἐπεϲϲύμενον ϲτίχαϲ Vrat. d. — 280 πᾶϲι GH Lips. Flor. παραι D. παρὰ Vrat. d. — 281 τοῖϲϲϊ H. — 283 ἑ omitt. C. Lips. — 284 ἐρίϲειαν DEH. Schol. I 443. — 285 ὁ. ϲφιν C. ὅϲ ϲφιν L Vrat. d. εὖ φρονέων CHLS Vrat. A. Lips. Flor. ceteri ἐΰφρονέων. — 286 ὦ πόποι AH. — 287 * οἷον δή: libri οἷον δ᾽. ἐξ αὖτιϲ D. ἐξαῦθϊϲ C. — 288 ἢ D. θή μιν G. — 288—290 omitt. H in textu, habet in marg. man. rec. — 289 θανέμεν Lips. τελαμωνίδαο G. — 290 ἐρύϲατο DL. ἐρρύϲϲατο Mor. — 291 ὃϲ δὴ D. ἕκτορα ὃϲ πολλῶν E. ὑπο ACL. — 292 ἔϲεϲθαι G Flor. — 294 ἐγὼ CDGLS frgm. Mosc. ἐγὼν AH. — 295 μὲν: δὲ Et. Mg. 115, 37. Schol. Δ 287 Cram. Ep. 14, 10. προτὶ CL. — 296 ἐνι A. — 297 εἴ κε L: εἴ κεν CDEGH Vrat. A. Flor. ὥϲ κεν A Harl. pro var. lect. γρ. καὶ εἴ κεν A. — 298 ἀνεχόμενοι Lips. ὀΐω CGH Lips Rom.

A. c. 277 εἵωϲ: τείωϲ Zenodotus. — 285 ὅ ϲφιν Aristarchus. — 287 δή: conf. H. U. 281. N 633.

θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
οἳ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ', ἀτάλαντον Ἄρηϊ,
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
μακρὰ βιβῶν· πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων
εἱμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀυτὴ
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀιστοὶ
θρῷσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
ἄλλα μὲν ἐν χροΐ πήγνυτ' ἀρηιθόων αἰζηῶν,
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός.
αὐτὰρ ἐπεὶ κατ' ἐνῶπα ἰδὼν Δαναῶν ταχυπώλων

V. l. 299 δείσεσθαι: δειδίσσεσθαι DL. — 300 ὡς A. οἳ δ' H. οἵδ' CL. libri ἠδ' ἐπίθοντο. — 301 οἳ μὲν C. ἂρ ADGHL. αἴαντε EL Cant. Townl. Flor. Rom.: αἴαντα CDGHS. αἴαντ$^{ε}$α A. — 302 ἄρῃ H. — 303 ὑσμίνῃ L. ἤρτυον Vrat. b. — 304 τρῴεσσιν L. — 306 τρῷες L. ἀρ A. ἂρ$^{ῶν}$ DEGHL. — 307 βιβῶν frgm. Mosc. Vrat. b. βιβὼν LS. βιβὰς H. βιβὰς ἢ βιβῶν Eust. 1016, 58. δὲ κί': δ' ἔκι' ALS Mor. — 308 ὤμοισιν ACHS Vrat. b. d. A. αἰγίδα: γρ. ἀσπίδα H man. rec. τινὲς ἀσπίδα Eust. 1016, 29. — 309 ἀριπρεπές D. — 311 ἂρ ADGHL. — 313 ἀπο A. ἀπαὶ L. νευρῆφι E. νευρῆφιν ὀϊστοί Townl. — 314 θρῶισκον A: ceteri θρῶσκον. δὲ δὴ δοῦρα D — .316 χρόα καλὸν G: λευκὸν ACDEHL Cant. Harl. Townl. conf. Λ 573. — 317 ἐν γαί' ἵστατο L. — 318 ἔχ': εἶχεν E. ἀτρέμας L. — 319 πίπτε ACGHL: πῖπτε DE. — 320 κατενῶπα CEG 1. man. L Et. Mg. 344, 57. κατένῶπα AH. κατὲνώπα D (acc. et spir. 2. man.). κατ' ἐνῶπα G ex corr. Et. Mg. 496, 7.

A. c. 301 Ζηνόδοτος καὶ ἀριστοφάνης αἴαντε δυϊκῶς Didymus. — 302 Aristarchus Μέγην: Μεγῆν Ptolem. Ascalonita cum aliis. — 307 βιβάς: ἀρίσταρχος βιβῶν Didymus. Zenodotus βοῶν, conf. 686. — 314 θρῷσκον, conf. H. U. 217. — 320 Aristarchus κατενῶπα: κατένωπα Alexio et Herodianus, conf. Eust. 1017, 60. Et. Gud. 307, 26. Cram. An. Par. III, 20, 28.

ϲεῖϲ᾿, ἐπὶ δ᾿ αὐτὸϲ ἄυϲε μάλα μέγα, τοῖϲι δὲ θυμὸν
ἐν ϲτήθεϲϲιν ἔθελξε, λάθοντο δὲ θούριδοϲ ἀλκῆϲ.
οἳ δ᾿, ὥϲ τ᾿ ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ᾿ οἰῶν
θῆρε δύω κλονέωϲι μελαίνηϲ νυκτὸϲ ἀμολγῷ,
ἐλθόντ᾿ ἐξαπίνηϲ ϲημάντοροϲ οὐ παρεόντοϲ,
ὣϲ ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδεϲ· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωϲὶν δὲ καὶ Ἕκτορι κῦδοϲ ὄπαζεν.
ἔνθα δ᾿ ἀνὴρ ἕλεν ἄνδρα κεδαϲθείϲηϲ ὑϲμίνηϲ.
Ἕκτωρ μὲν Ϲτιχίον τε καὶ Ἀρκεϲίλαον ἔπεφνε,
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεϲθῆοϲ μεγαθύμου πιϲτὸν ἑταῖρον·
Αἰνείαϲ δὲ Μέδοντα καὶ Ἴαϲον ἐξενάριξεν·
ἤ τοι ὃ μὲν νόθοϲ υἱὸϲ Ὀιλῆοϲ θείοιο
ἔϲκε Μέδων, Αἴαντοϲ ἀδελφεόϲ· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίηϲ ἄπο πατρίδοϲ, ἄνδρα κατακτάϲ,
γνωτὸν μητρυιῆϲ Ἐριώπιδοϲ, ἣν ἔχ᾿ Ὀιλεύϲ·
Ἴαϲοϲ αὖτ᾿ ἀρχὸϲ μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸϲ δὲ Ϲφήλοιο καλέϲκετο Βουκολίδαο.
Μηκιϲτῆ δ᾿ ἕλε Πουλυδάμαϲ, Ἐχίον δὲ Πολίτηϲ
πρώτῃ ἐν ὑϲμίνῃ, Κλονίον δ᾿ ἕλε δῖοϲ Ἀγήνωρ.
Δηίοχον δὲ Πάριϲ βάλε νείατον ὦμον ὄπιϲθε
φεύγοντ᾿ ἐν προμάχοιϲι, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲεν.
ὄφρ᾿ οἳ τοὺϲ ἐνάριζον ἀπ᾿ ἔντεα, τόφρα δ᾿ Ἀχαιοὶ
τάφρῳ καὶ ϲκολόπεϲϲιν ἐνιπλήξαντεϲ ὀρυκτῇ

---

V. l. 321 ἔπι AH. — 322 ἔθελξεν G. — 323 οἳ δ᾿ D ex corr. οἵδ᾿ CGHL. — 324 κλονέωϲι A Barocc. Harl. frgm. Mosc. κλονέουϲι CDEGHLS. — 325 ἐλθόντ᾿ [ε] A. ἐξ ἀπίνηϲ E. — 326 φόβηθεν D Vrat. A. — 327 θῆκε φόβον H Vrat. d τρωϲὶ DGH Lips. Vrat. A. Flor. Rom. Schol. Є 334. τρῳϲὶ L. ὄπαζε H. — 328 δ᾿ omitt. L. κεδαϲθείϲηϲ [c] D. — 329 ϲτίχιον L. ἔπεφνε ACDGH. — 330 χαλκοχιτώνων: καρτεροθύμων Vrat. b. frgm. Mosc. γρ. καρτεροθύμων A. — 333 ἤτοι libri. ὃ μὲν C. — 335 ἀπο AD ex corr. ἀπὸ D 1. man. — 337 ἴαϲοϲ μὲν αὖτ᾿ ἀρχὸϲ D. — 339 μηκιϲτὴν G Vrat. b. Flor. μηκιϲτῆν Cant. μηκιϲτῆ [ν] C (ν add. 2. man.). ἰχίον S. — 340 κλόνιον GL. κλονίων D. — 341 δηΐλοχον L. ὦμον C. ὄπιϲθε ACG. — 342 διὰ πρὸ GH. διὰ δε χαλκὸν D. — 343 οἱ ACDGHL. ἀπέντεα AD. — 344 ϲκολόπεϲϲῖ H.

---

A. c. 333 Ὀιλῆοϲ: ὁ Ἰλῆοϲ Zenodotus.

ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσι κατὰ στίχας. οἱ δὲ σὺν αὐτῷ
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ᾗσι.
τῇ ῥ' οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάις ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,

---

V. l. 346 τρῴεσσιν L. — 347 ἐπισεύεσθαι ἐᾷν G Flor. — 348 ἐγὼ Lips. Flor. ἑτέρωθι: ἑτέρωσε Pseudopl. 117, 29. ἐθέλοντα νοήσω Pseudopl. 157, 9. Rhet. Gr. I, 276, 18, conf. B 391. — 349 οἷ D (acc. 2. man.). μητίσσομαι DEGH Pseudopl. 157, 9. Rhet. Gr. I, 276, 19. — 351 ἀλλὰ καὶ ες ἐρύουσι A. κύνες γ' L. ἐρύσουσι Cant. — 352 ὡς A. κατ' ὠμαδὸν L. — 353 τρῴεσσι L. τρώεσσιν ἐπὶ CDES Cant. Mor. Vrat. b. d. Lips. frgm. Mosc. τρώεσσιν ἐπι H. τρώεσσι ἐπι A. στίχους D (ου 2. man.). οἳ δὲ C. — 356 βαθείῃις C. βαθείας Schol. Ξ 15. ποσὶν D ἐρίπων A Lips. Townl. ἐρίπτων Schol. Ξ 15. ποσὶ καὶ χερσὶν ἐρίπτων Et. Gud. 307, 2. — 357 μέσον Lips. 1. man. DE. κατάβαλλε L. γεφύρωσε D Lips. 1. man. — 358 ἐπι DH. — 359 γίγνεται L Syr. γίνεται ACEGH. γίνετ' D. ᾗσι A Ven. B. Harl. frgm. Mosc. ᾗσιν L. ἡισι D. ᾗσϊ H. ᾗσι Vrat. d. εἶσι Flor. C et γρ. ἥσει man. rec. ἥσει EG. HCEI Syr. ἥσει est lapsus librariorum, non varia lectio, conf. φήσει α 168. ἀποδώσει θ 318. ποιήσει O 363. κινήσει B 147, 395. Π 264, 298. φιλήσει Ι 117. ὁρμήσει N 64. ἐπικλώσει δ 207. ᾗσι confirmatur analogia formarum φθῇσιν Ψ 805. ᾗσιν T 202. θ 147, 163. φῇσιν α 168. δῷσι A 129. α 379. β 144. θ 318. — 361 ἐρίτιμον: πολύτιμον D. ἔρειπε: ἔριπε AD Townl. frgm. Mosc. ἔργασε pro ἔρειπε L. — 362 παῖς ACHL Lips.: πάϊς DEGS. ΠΑΪC Syr. — 363 ποιήσει CDEGL Lips. edd. vett.: ποιήσῃ AH Cant. Barocc. Harl. Mor. frgm. Mosc. Vrat. d. Apoll. Soph. 12, 33.

---

A. c. 347 ἐπισσεύεσθαι: ἐπισσεύεσθον Zenodotus. — 351 Aristarchus et Herodianus ἐρύουσι: ἐρυοῦσι Alexio. — 353 κατὰ στίχας ut Λ 91. conf. Γ 326. Ε 590. Λ 343. Π 820. — 356 ποσσὶν: χερσὶν Zenodotus.

ἂψ αὖτιϲ ϲυνέχευε ποϲὶν καὶ χερϲὶν ἀθύρων.
ὥϲ ῥα ϲὺ ἤιε Φοῖβε πολὺν κάματον καὶ ὀιζὺν
ϲύγχεαϲ Ἀργείων, αὐτοῖϲι δὲ φύζαν ἐνῶρϲαϲ.
ὣϲ οἳ μὲν παρὰ νηυϲὶν ἐρητύοντο μένοντεϲ,
ἀλλήλοιϲί τε κεκλόμενοι καὶ πᾶϲι θεοῖϲι
χεῖραϲ ἀνίϲχοντεϲ μεγάλ᾽ εὐχετόωντο ἕκαϲτοϲ·
Νέϲτωρ αὖτε μάλιϲτα Γερήνιοϲ, οὖροϲ Ἀχαιῶν,
εὔχετο χεῖρ᾽ ὀρέγων εἰϲ οὐρανὸν ἀϲτερόεντα·
Ζεῦ πάτερ, εἴ ποτέ τίϲ τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
ἢ βοὸϲ ἢ ὄιοϲ κατὰ πίονα μηρία καίων
εὔχετο νοϲτῆϲαι, ϲὺ δ᾽ ὑπέϲχεο καὶ κατένευϲαϲ,
τῶν μνῆϲαι, καὶ ἄμυνον Ὀλύμπιε νηλεὲϲ ἦμαρ,
μὴ δ᾽ οὕτω Τρώεϲϲιν ἔα δάμναϲθαι Ἀχαιούϲ.
ὣϲ ἔφατ᾽ εὐχόμενοϲ, μέγα δ᾽ ἔκτυπε μητίετα Ζεὺϲ
ἀράων ἀίων Νηληιάδαο γέροντοϲ.
Τρῶεϲ δ᾽ ὡϲ ἐπύθοντο Διὸϲ κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ᾽ Ἀργείοιϲι θόρον, μνήϲαντο δὲ χάρμηϲ.
οἳ δ᾽, ὥϲ τε μέγα κῦμα θαλάϲϲηϲ εὐρυπόροιο
νηὸϲ ὑπὲρ τοίχων καταβήϲεται, ὁππότ᾽ ἐπείγῃ
ἲϲ ἀνέμου· ἣ γάρ τε μάλιϲτά γε κύματ᾽ ὀφέλλει·
ὣϲ Τρῶεϲ μεγάλῃ ἰαχῇ κατὰ τεῖχοϲ ἔβαινον,
ἵππουϲ δ᾽ εἰϲελάϲαντεϲ ἐπὶ πρυμνῇϲι μάχοντο
ἔγχεϲιν ἀμφιγύοιϲ αὐτοϲχεδόν, οἳ μὲν ἀφ᾽ ἵππων,
οἳ δ᾽ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντεϲ

---

V. L. 364 αὖθϊϲ CL. ποϲὶ D Lips. Vrat. A. — 365 ὧϲ ῥὰ GL. ὣϲ ἄρα ϲὺ D. — 366 φῦζαν H Syr. — 367 ὡϲ A. — 368 θεοῖϲι ACDGH Syr. — 370 νέϲτωρ δ᾽ H Syr. — 372 τιϲ τοι ACH. τιϲ ϲοι G. εἴποτε τίϲ τοι L. — 373 οἰὸϲ H. κατα ACDGH. μετὰ πιονα L. — 375 ἦμαρ D ex corr. — 376 μὴ δ᾽ ACDGHL. τρῴεϲϲιν L. δάμνεϲθαι Barocc. — 377
ον
ὡϲ A. μητιέτα L. — 379 τρῷεϲ L. ἐπύθετο H. κτύπον libri mei cum Lips. Harl. Mor. Vat. Townl. Vrat. b. d. A. frgm. Mosc. Eust. νόον Heynius cum Ernestio, nescio unde, fortasse ex interpretatione paraphrastae, qui νοῦν habet. — 381 οἵδ᾽ CGHL. — 382 ἐπείγει EL. — 383 ἀνέμοιο D. ἣ ACDEH. ἡ γάρ ῥα Harl. — 384 ὡϲ A. τρῷεϲ L.
ηϲαν
ἔβαινον AC. — 385 μάχονται Eust. 1021, 20. Schol. Π 367. — 386 ἄγχεϲιν G. ἀμφιγύοιϲιν G. οἳ μὲν C. — 387 οἵδ᾽ CGHL. ἀπο A. ὑψιμελαινάων G. ΑΠΟΒΑΝΤΕϹ Ambros.

---

A. c. 365 ἤιε Crates et Herodianus: ἥιε Aristarchus, conf. Eust. 1020, 16. Et. Mg. 469, 53. Zonar. Lex. 981. — 373 ὄιοϲ: τινὲϲ οἰὸϲ Schol. V. ita Aristarchus et Ptolem. Ascalonita, cf. ad Γ 198. — 377 ἔκτυπε: ἔκλυε Zenodotus.

μακροῖϲι ξυϲτοῖϲι, τά ῥά cφ᾽ ἐπὶ νηυϲὶν ἔκειτο
ναύμαχα, κολλήεντα, κατὰ ϲτόμα εἱμένα χαλκῷ.
Πάτροκλοϲ δ᾽, εἵωϲ μὲν Ἀχαιοί τε Τρῶέϲ τε
τείχεοϲ ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ᾽ ὅ γ᾽ ἐνὶ κλιϲίῃ ἀγαπήνοροϲ Εὐρυπύλοιο
ἧϲτό τε καὶ τὸν ἔτερπε λόγοιϲ, ἐπὶ δ᾽ ἕλκεϊ λυγρῷ
φάρμακ᾽ ἀκέϲματ᾽ ἔπαϲϲε μελαινάων ὀδυνάων.
αὐτὰρ ἐπεὶ δὴ τεῖχοϲ ἐπεϲϲυμένουϲ ἐνόηϲε
Τρῶαϲ, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβοϲ τε,
ᾤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα καὶ ὢ πεπλήγετο μηρὼ
χερϲὶ καταπρηνέϲϲ᾽, ὀλοφυρόμενοϲ δ᾽ ἔποϲ ηὔδα·
Εὐρύπυλ᾽, οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπηϲ
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκοϲ ὄρωρεν·
ἀλλὰ ϲὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε
ϲπεύϲομαι εἰϲ Ἀχιλῆα, ἵν᾽ ὀτρύνω πολεμίζειν.
τίϲ δ᾽ οἶδ᾽, εἴ κέν οἱ ϲὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφαϲίϲ ἐϲτιν ἑταίρου.
τὸν μὲν ἄρ᾽ ὣϲ εἰπόντα πόδεϲ φέρον· αὐτὰρ Ἀχαι ο
Τρῶαϲ ἐπερχομένουϲ μένον ἔμπεδον, οὐδὲ δύναντο
παυροτέρουϲ περ ἐόνταϲ ἀπώϲαϲθαι παρὰ νηῶν·
οὐδέ ποτε Τρῶεϲ Δαναῶν ἐδύναντο φάλαγγαϲ
ῥηξάμενοι κλιϲίῃϲι μιγήμεναι ἠδὲ νέεϲϲιν.

V. L. 388 ϲφ᾽: ϲφιν E. ἔπι A. — 389 ΙΜΕΝΑΧΑΛΚΟΝ Ambr. εἵμενα χαλκόν S. — 390 τρῷεϲ L. — 391 ἀμφ᾽ ἐμάχοντο AG 2. man. H. 2. man. Syr. ΑΜΦΕΜΑΧΟΝΤΟ Ambros. — 392 ἔνι A. ἐν Vrat. A. — 394 ἀκήματ᾽ ACGHL post ras. S Et. Mg. 47, 42. ΑΚΗΜΑΤ᾽ Ambr. Syr. ἀκήματα E Apoll. Soph. 18, 24. ἀκέϲματ᾽ D Lips. — 395 libri ἐπειδὴ. ἐνόηϲε ACEH Syr. ЄΝΟΗϹЄΝ Ambr. — 396 τρῷαϲ L. γένετ᾽ CDE. γίνετ᾽ G Flor. — 397 ἂρ ADEGHL. ΑΡ Ambr. ΩΙ et ΜΗΡΩΙ Ambros. ὦ||| D post ras. — 398 καταπρηνέεϲϲ᾽ C Lips. Flor. δ᾽ ἔποϲ ηὔδα AGL: δὲ προϲηύδα CDHS (om. δὲ) Syr. Barocc. Vrat. b. d. — 400 περιμενέμεν S. — 401 ϲὲ μὲν: ϲέ περ Schol. O 393. ποτὶ τέρπετο GH. ἔγωγε libri. — 402 ϲπεύϲομ᾽ C. ἵν᾽ ἐποτρύνω πολεμεῖν L. — 403 οἶδεν L. — 404 παραίφαϲιϲ ἐϲτὶν CDGL. — 405 ἂρ GHL. — 406 τρῷαϲ L. οὐδὲ δύναντο ADGS. δύναντο etiam Eust. 1022, 39. vulgo οὐδ᾽ ἐδύναντο. — 407 ἀμύνεϲθαι παρὰ S. παρα H. — 408 οὐδέ ποτε ACHL Vrat. d. frgm. Mosc. Rom. οὔτέ ποτε DG. οὔτε ποτἕ E. τρῷεϲ L. — 409 ἠδὲ: οὐδὲ ACDHLS. οὐδὲ νέεϲϲιν ἢ ἠδὲ νέεϲϲι Eust. 1022, 39. ἐν ἄλλῳ ἠδὲ νέεϲϲιν A.

A. c. 393 ἔτερπε λόγοιϲ: τινὲϲ ἔτερπε λόων (cod. λούων conf. κ 361) Schol. V. — 394 ἔν τιϲιν ἀκέϲματ᾽, οὕτω δὲ καὶ ἀρίϲταρχοϲ, διχῶϲ (cod. χῶϲ) οὖν Didymus. — 398 οὕτωϲ ἀρίϲταρχοϲ ἔποϲ ηὔδα Didymus, conf. 114.

ἀλλ᾽ ὥϲ τε ϲτάθμη δόρυ νήιον ἐξιθύνει
τέκτονοϲ ἐν παλάμῃϲι δαήμονοϲ, ὅϲ ῥά τε πάϲηϲ
εὖ εἰδῇ ϲοφίηϲ ὑποθημοϲύνῃϲιν Ἀθήνηϲ,
ὣϲ μὲν τῶν ἐπὶ ἶϲα μάχη τέτατο πτόλεμόϲ τε.
ἄλλοι δ᾽ ἀμφ᾽ ἄλλῃϲι μάχην ἐμάχοντο νέεϲϲιν.
Ἕκτωρ δ᾽ ἄντ᾽ Αἴαντοϲ ἐείϲατο κυδαλίμοιο.
τὼ δὲ μιῆϲ περὶ νηὸϲ ἔχον πόνον, οὐδὲ δύναντο
οὔθ᾽ ὃ τὸν ἐξελάϲαι καὶ ἐνιπρῆϲαι πυρὶ νῆα,
οὔθ᾽ ὃ τὸν ἂψ ὤϲαϲθαι, ἐπεί ῥ᾽ ἐπέλαϲϲέ γε δαίμων.
ἔνθ᾽ υἷα Κλυτίοιο Καλήτορα φαίδιμοϲ Αἴαϲ,
πῦρ ἐϲ νῆα φέροντα, κατὰ ϲτῆθοϲ βάλε δουρί·
δούπηϲεν δὲ πεϲών, δαλὸϲ δέ οἱ ἔκπεϲε χειρόϲ.
Ἕκτωρ δ᾽ ὡϲ ἐνόηϲεν ἀνεψιὸν ὀφθαλμοῖϲιν
ἐν κονίῃϲι πεϲόντα νεὸϲ προπάροιθε μελαίνηϲ,
Τρωϲί τε καὶ Λυκίοιϲιν ἐκέκλετο μακρὸν ἀύϲαϲ·
Τρῶεϲ καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεϲθε μάχηϲ ἐν ϲτείνεϊ τῷδε,
ἀλλ᾽ υἷα Κλυτίοιο ϲαώϲατε, μή μιν Ἀχαιοὶ
τεύχεα ϲυλήϲωϲι νεῶν ἐν ἀγῶνι πεϲόντα.
ὣϲ εἰπὼν Αἴαντοϲ ἀκόντιϲε δουρὶ φαεινῷ.
τοῦ μὲν ἅμαρθ᾽, ὃ δ᾽ ἔπειτα Λυκόφρονα, Μάϲτοροϲ υἱόν,
Αἴαντοϲ θεράποντα Κυθήριον, ὅϲ ῥα παρ᾽ αὐτῷ
ναἶ᾽, ἐπεὶ ἄνδρα κατέκτα Κυθήροιϲι ζαθέοιϲι,
τόν ῥ᾽ ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατοϲ ὀξέι χαλκῷ,
ἑϲταότ᾽ ἄγχ᾽ Αἴαντοϲ· ὃ δ᾽ ὕπτιοϲ ἐν κονίῃϲι
νηὸϲ ἄπο πρυμνῆϲ χαμάδιϲ πέϲε, λύντο δὲ γυῖα.

---

V. L. 411 δαΐμονοϲ A. — 413 ὡϲ A. — 416 τὼ δὲ ἰῆϲ Vrat. A. ἔχοντο L. οὐδὲ δύναντο ACD 1. man. ES Vrat. b. Rom. ΟΥΔΕΔΥΝΑΝΤΟ Syr. — 417 ὁ ACDGHL Eust. 1022, 41. ἐνὶ πρῆϲαι GH. νῆαϲ ACD EGHLS Syr. cum libris Heynii. — 418 ὁ ACDGHL. ἐπέλαϲϲέ ἑ S. — 419 υἷα: υἱὸν D suprascr. al. man. καλῖτορα C 1. man. καλλίτορα S. — 420 νῆαϲ D (αϲ 2. man.) L Vrat. A. — 421 δούπηϲε Lips. — 422 ὀφθαλμοῖϲι G Flor. Rom. — 423 νεὼϲ CDHL. νηὸϲ G Flor. Rom. — 424 τρῳϲί L. τὲ H. — 425 τρῷεϲ L. — 426 ϲτένεϊ H 1. man. — 427 ϲαώϲετε Vrat. d. ϲαώϲομεν Schol. Ε 266. — 429 ὡϲ A. — 430 ὁ δ᾽ D. ὅδ᾽ CGH. μήϲτοροϲ C. — 431 ὅϲ ῥὰ L. — 432 ζαθέοιϲι ACD. — 433 ἔβαλε E Lips. ὑπερ A. — 434 ὁ δ᾽ D 1. man. ὅδ᾽ CD 2. man. GHL. κονίῃϲι ACDGH. — 435 ἀπὸ CD 2. man. EGHL. ἄπο A. λῦντο CDGHL. λῦτο Cant.

---

A. c 414 ἐκ τούτου διεϲκεύαϲται ὁ τῆϲ τειχομαχίαϲ ϲτίχοϲ (Μ 175), itaque asteriscus. — 417 ἀρίϲταρχοϲ νῆα, ἄλλοι δὲ νῆαϲ Didymus. — 419 υἷα: υἱόν, conf. H. U. 46.

Αἴαϲ δ' ἐῤῥίγηϲε, καϲίγνητον δὲ προϲηύδα·
Τεῦκρε πέπον, δὴ νῶιν ἀπέκτατο πιϲτὸϲ ἑταῖροϲ
Μαϲτορίδηϲ, ὃν νῶι Κυθηρόθεν ἔνδον ἐόντα
ἶϲα φίλοιϲι τοκεῦϲιν ἐτίομεν ἐν μεγάροιϲι·
τὸν δ' Ἕκτωρ μεγάθυμοϲ ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβοϲ Ἀπόλλων;
ὣϲ φάθ', ὃ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέϲτη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεϲϲιν ἐφίει.
καί ῥ' ἔβαλε Κλεῖτον, Πειϲήνοροϲ ἀγλαὸν υἱόν,
Πουλυδάμαντοϲ ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
ἡνία χερϲὶν ἔχοντα· ὃ μὲν πεπόνητο καθ' ἵππουϲ·
τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖϲται κλονέοντο φάλαγγεϲ,
Ἕκτορι καὶ Τρώεϲϲι χαριζόμενοϲ· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τιϲ ἐρύκακεν ἱεμένων περ.
αὐχένι γάρ οἱ ὄπιϲθε πολύϲτονοϲ ἔμπεϲεν ἰόϲ·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώηϲαν δέ οἱ ἵπποι
κείν' ὄχεα κροτέοντεϲ. ἄναξ δ' ἐνόηϲε τάχιϲτα
Πουλυδάμαϲ, καὶ πρῶτοϲ ἐναντίοϲ ἤλυθεν ἵππων.
τοὺϲ μὲν ὅ γ' Ἀϲτυνόῳ, Προτιάονοϲ υἱέι, δῶκεν,
πολλὰ δ' ἐπώτρυνε ϲχεδὸν ἴϲχειν εἰϲορόωντα
ἵππουϲ· αὐτὸϲ δ' αὖτιϲ ἰὼν προμάχοιϲιν ἐμίχθη.

---

V. l. 436 ἐρρίγηϲεν H. — 439 μεγάροιϲι ACDEGH. — 441 ὃ, τοῦ G et supra 2. man. τοὶ. — 442 ὣϲ A. — 443 παλίντονον A. — 444 ἰοδόκον A. βέλεα CDEHL Cant. Harl. Lips. Townl. Vrat. A. b. d. βέλη edd. vett. ἐφίη Barocc. ἀφίει Vrat. b. — 446 ἀγαβοῦ H. πανθοΐδαο L: ceteri πανθοίδαο. — 447 ὃ μὲν C. ἵππουϲ: ἵππων H Vrat. d. — 448 ῥὰ DHL. — 449 τρῴεϲϲι L. — 450 ἱεμένων ADHS Vrat. A. Rom. ἰεμένων Townl. ἱεμένῳ CGL Lips. (suprascr. ἱεμένου). ἱεμένων περ ἢ κατὰ δοτικὴν πτῶϲιν ἱεμένῳ περ Eust. 1025, 9. — 453 κεῖν' DG. — 454 πολυδάμαϲ G. ἐναντίοϲ ACS Cant. Barocc. Mor. Lips. Ven. B. frgm. Mosc. Vrat. b. ἐναντίον DGL. ἐναντίον (suprascr. ϲ) H. — 455 ἀϲτυνόωι C. προτιάνοροϲ frgm. Mosc. δῶκε ACDGH. — 456 ἐπότρυνε H Vrat. d. —. 457 αὐτὸϲ δ' αὖτ' ἐξαῦτϊϲ ἰὼν (om. ἵππουϲ) H Vrat. d. αὖθϊϲ C.

---

A. c. 439 τοκεῦϲιν: τέκεϲϲιν Zenodotus (Aristarchus teste Schol. BL). — 444 ἰοδόκον Herodianus, Alexio, Attalus: ἰόδοκον alii. — 449—451 ἀθετοῦνται. asterisci, ὀρθῶϲ P 291, 292. — 450 διχῶϲ ἀρίϲταρχοϲ καὶ ἱεμένῳ καὶ ἱεμένων Didymus. — 451 ὄπιϲθε: πρόϲθε Aristophanes apud Schol. V.

Τεῦκροϲ δ' ἄλλον ὀϊϲτὸν ἐφ' Ἕκτορι χαλκοκορυϲτῇ
αἴνυτο, καί κεν ἔπαυϲε μάχηϲ ἐπὶ νηυϲὶν Ἀχαιῶν,
εἴ μιν ἀριϲτεύοντα βαλὼν ἐξείλετο θυμόν.
ἀλλ' οὐ λῆθε Διὸϲ πυκινὸν νόον, ὅϲ ῥα φύλαϲϲεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχοϲ ἀπηύρα,
ὅϲ οἱ ἐυϲτρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
ἰὸϲ χαλκοβαρήϲ, τόξον δέ οἱ ἔκπεϲε χειρόϲ.
Τεῦκροϲ δ' ἐῤῥίγηϲε, καϲίγνητον δὲ προϲηύδα·
ὢ πόποι, ἦ δὴ πάγχυ μάχηϲ ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρηϲ, ὅ τέ μοι βιὸν ἔκβαλε χειρόϲ,
νευρὴν δ' ἐξέῤῥηξε νεόϲτροφον, ἣν ἐνέδηϲα
πρώιον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴϲκονταϲ ὀϊϲτούϲ.
τὸν δ' ἠμείβετ' ἔπειτα μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέαϲ ἰοὺϲ
κεῖϲθαι, ἐπεὶ ϲυνέχευε θεὸϲ Δαναοῖϲι μεγήραϲ·
αὐτὰρ χερϲὶν ἑλὼν δολιχὸν δόρυ καὶ ϲάκοϲ ὤμῳ
μάρναό τε Τρώεϲϲι καὶ ἄλλουϲ ὄρνυθι λαούϲ.
μὴ μὰν ἀϲπουδί γε δαμαϲϲάμενοί περ ἕλοιεν
νῆαϲ ἐυϲϲέλμουϲ, ἀλλὰ μνηϲώμεθα χάρμηϲ.
ὣϲ φάθ', ὃ δὲ τόξον μὲν ἐνὶ κλιϲίῃϲιν ἔθηκεν,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοιϲι ϲάκοϲ θέτο τετραθέλυμνον,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
[ἵππουριν, δεινὸν δὲ λόφοϲ καθύπερθεν ἔνευεν.]

V. L. 459 μάχηϲ ACEGHLS. μάχην D. ἐπὶ AH. — 461 * ὅϲ ῥα φύλαϲϲεν: libri ὅϲ ῥ' ἐφύλαϲϲεν. ὅϲ ῥ' ἑ φύλαϲϲεν D ex corr. ὅϲ ῥ' ἐφύλαϲϲεν D 1. man. — 462 αὐτὰρ D. — 463 εὐϲτρεφέα D. ἐΰϲτροφέα G. — 464 παρεπλάγχη L. — 466 δε ῥίγηϲε D 3. man. δ' ἐρίγηϲε H. — 467 ὦ πόποι AH. ἐν ἄλλῳ ὦ πέπον H. ἢ D. ἐπι ACDHL. — 468 ἡμέτεροϲ L. — 469 ἔρρηξε CD. ἐΰϲτροφον S. γρ. ἐΰϲτροφον Lips. νεοϲτρεφέα Schol. Θ 328. — 470 ἂν ἔχοιτο D 3. man. L. θρώιϲκονταϲ A: θρῴϲκονταϲ ceteri. — 473 μεγήραϲ C. — 475 τρῴεϲϲι L. — 476 ἀϲπουδεί CDEGHLS δαμαϲάμενοι Lips. — 477 ἐϋϲέλμουϲ H Lips. μνηϲαίμεθα Barocc. Harl. — 478 ὡϲ A. ὁ δὲ ACDGH et Heynii libri. vulgo ὁ δ' αὖ. ὃ δ' αὖ L. — 479 τετραθέλυμνον A. — 480 εὔτυκτον libri. — 481 omitt. AHLS Barocc. Mor. Harl. Lips. Townl. frgm. Mosc. habent CDG.

A. c. 459 Ζηνόδοτοϲ μάχηϲ, ἄλλοι δὲ μάχην, καὶ ἀριϲτοφάνηϲ δὲ μάχην Didymus. conf. O 15, 250. Δ 191. Μ 389. Ρ 602. δ 35. — 467 ὦ πόποι: ὦ πέπον Zenodotus? vid. Schol. Ρ 171. — 469 νεόϲτροφον: εὕρομεν δὲ καὶ ἐύϲτροφον γεγραμμένον καὶ ἔχει τινὰ ἐπίταϲιν Didymus. — 470 πρώιον; ὅτι Ζηνόδοτοϲ γράφει πρῴην Aristonicus. ἀμφότερα γράφεϲθαί φηϲιν ὁ Ἀρίϲταρχοϲ Didymus.

εἵλετο δ᾽ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
βῆ δ᾽ ἰέναι, μάλα δ᾽ ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ᾽ ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
ῥεῖα δ᾽ ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή,
ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ᾽ ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ᾽ ἀρήγει.
ἀλλὰ μάχεσθ᾽ ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὕμεων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ᾽ ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Αἴας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
αἰδὼς Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ἔλπεσθ᾽, ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα

V. l. 484 εἶδε DE Lips. Vrat. A. Cram. Ep. 449, 11. — 485 τρωσί L. — 486 τρῷες L. — 487 ἐστὲ CHL. — 488 ἀνα AD. γὰρ ρ ἴδον C (ρ add. man. rec.). εἶδον D. — 490 γίγνεται L: γίνεται ACDEGH. — 491 ὀτέοισι E Vrat. A. Et. Mg. 636, 33. ὑπέρτατον H Vrat. d. ἐγγυαλίξει CE Rom. Et. Mg. 636, 33. ἐγγυαλίζει S. — 492 ἢ δ᾽ D. μινύθει CES Et. Mg. 636, 33. Barocc. Vrat. b. A. Rom. ΜΙΝΎΘΗΙCΙ ΚΑΙ Syr. μινύθῃσιν Apoll. de Coni. 502, 20. μινύθῃσι Vrat. d. ἀμῦναι H 1. man. Vrat. d. — 493 ὥς D. 2. man. — 494 ἐν νηυσὶν Vrat. b. νηυσὶ διαμπερὲς Lycurgus adv. Leocr. § 103. υμμέων C cum utroque spiritu supra υ. — 495 ἐπίσπει C. — 496 περι AH. — 497 σόη καὶ νήπια τέκνα Lycurgus, conf. Schol. BL. Eust. 1028, 56. — 498 καὶ κλῆρος καὶ οἶκος Lycurgus. — 499 οἴχονται EG Barocc. Lips. Mor. Cant. Harl. ἥκωνται, ἥικωνται, ἵκωνται, ἡικχωνται codd. Lycurgi. — 500 ὡς A. — 501 ἐκέκλετο μακρὸν ἀΰσας Lips. — 504 ἢ CGH Schol. O 700. εἰ νῆας L. κορυθαιόλος ADE Rom. — 506 ἢ CDGHL

A. c. 491 ὀτέοισιν Herodianus. — 494 ἡ ὑμέων ἀντωνυμία ἀπόλυτός ἐστι καὶ οὐκ ἔχουσα ἀντιδιαστολήν. διὸ τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν Herodianus.

Ἕκτοροϲ, ὃϲ δὴ νῆαϲ ἐνιπρῆϲαι μενεαίνει;
οὐ μὰν ἔϲ γε χορὸν κέλετ᾽ ἐλθέμεν, ἀλλὰ μάχεϲθαι.
ἡμῖν δ᾽ οὔ τιϲ τοῦδε νόοϲ καὶ μῆτιϲ ἀμείνων,
ἢ αὐτοϲχεδίῃ μῖξαι χεῖράϲ τε μένοϲ τε.
βέλτερον ἢ ἀπολέϲθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δηθὰ ϲτρεύγεϲθαι ἐν αἰνῇ δηιοτῆτι
ὧδ᾽ αὔτωϲ παρὰ νηυϲὶν ὑπ᾽ ἀνδράϲι χειροτέροιϲιν.
ὣϲ εἰπὼν ὤτρυνε μένοϲ καὶ θυμὸν ἑκάϲτου.
ἔνθ᾽ Ἕκτωρ μὲν ἕλε Cχεδίον, Περιμήδεοϲ υἱόν,
ἀρχὸν Φωκήων, Αἴαϲ δ᾽ ἕλε Λαοδάμαντα,
ἡγεμόνα πρυλέων, Ἀντήνοροϲ ἀγλαὸν υἱόν·
Πουλυδάμαϲ δ᾽ Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῷ δὲ Μέγηϲ ἐπόρουϲεν ἰδών· ὃ δ᾽ ὕπαιθα λιάϲθη
Πουλυδάμαϲ. καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοιϲι δαμῆναι·
αὐτὰρ ὅ γε Κροίϲμου ϲτῆθοϲ μέϲον οὔταϲε δουρί.
δούπηϲεν δὲ πεϲών· ὃ δ᾽ ἀπ᾽ ὤμων τεύχε᾽ ἐϲύλα.
τόφρα δὲ τῷ ἐπόρουϲε Δόλοψ, αἰχμῆϲ εὖ εἰδώϲ,
Λαμπετίδηϲ, ὃν Λάμποϲ ἐγείνατο φέρτατον υἱόν,
Λαομεδοντιάδηϲ, εὖ εἰδότα θούριδοϲ ἀλκῆϲ,

---

V. l. 508 ЄϹΤЄΧΟΡὸΝ Syr. ἐλθεῖν Eust. 1029, 25; 60. 1030, 2. sed 1029, 9 ἐλθέμεν. — 510 αὐτοϲχεδίην Harl. μίξαι ACL. ΜΙΞΑΙ (ε superscr.) Syr. (ε suprascr. 2. man.). — 511 ἤ βιῶναι C. — 513 omitt. H in textu, habet in marg. man. rec. αὐτωϲ A Syr. αὕτωϲ EGH. ὑπ᾽: ἐν ᾗ ὑπ᾽ E. ΧЄΙΡΟΤЄΡΟΙϹΙ Syr. εἰ δὲ γράφεται ἀνδράϲι παυροτέροιϲι Eust. 1029, 21. — 514 ὡϲ A. — 515 ϲχέδιον L. τινὲϲ Cχέδιον Eust. 1030, 10. — 516 φωκήων Lips. ΦΩΚЄΙΏΝ Syr. λαομέδοντα frgm. Mosc. — 518 ἐξενάριξε ACDGH: ἐξενάριξεν L Syr. Pausanias IX, 26, 5. — 519 ἑταῖρον C. — 520 τῷδε H. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 521 ἀπήβροτεν S. — 522 πάνθου: πανθόου Mor. non male. conf. Γ 146. Ρ 9. 23, 40, 59. ἐνι AD. ἐνὶ τρώεϲϲι H Vrat. d. δαμῆναι: μιγῆναι Harl. — 524 δούπηϲε H Lips. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 525 libri εὖ cum Schol. Λ 302. — 526 φέρτατον υἱὸν ACHL Syr. Lips. frgm. Mosc. Vrat. d. φέρτατον ἀνδρῶν S Harl. γρ. ἀνδρῶν Lips. φέρτατοϲ ἀνδρῶν DG.

---

A. c. 513 οὕτω γραπτέον ὧδ᾽ αὔτωϲ (sic) Schol. A. — 516 Φωκήων: τινὲϲ ἀρχὸν Ἀθηναίων Schol. V. τὰ τοιαῦτα διχῶϲ ἐν ταῖϲ Ἀριϲτάρχου εὑρίϲκομεν καὶ διὰ τοῦ ει Φωκείων καὶ διὰ τοῦ η Φωκήων Didymus ad B 517. — 523 Κροίϲμου: Κροῖϲμον? conf. N 438 ἀτρέμαϲ ἑϲταότα ϲτῆθοϲ μέϲον οὔταϲε δουρί. Π 597 τὸν Γλαῦκοϲ ϲτῆθοϲ μέϲον οὔταϲε δουρί. H. S. 227.

ὃϲ τότε Φυλεΐδαο μέϲον ϲάκοϲ οὔταϲε δουρὶ
ἐγγύθεν ὁρμηθείϲ· πυκινὸϲ δέ οἱ ἤρκεϲε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοιϲιν ἀρηρότα· τόν ποτε Φυλεὺϲ
ἤγαγεν ἐξ Ἐφύρηϲ ποταμοῦ ἄπο Ϲελλήεντοϲ.
ξεῖνοϲ γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτηϲ
ἐϲ πόλεμον φορέειν, δηίων ἀνδρῶν ἀλεωρήν·
ὅϲ οἱ καὶ τότε παιδὸϲ ἀπὸ χροὸϲ ἤρκεϲ' ὄλεθρον.
τοῦ δὲ Μέγηϲ κόρυθοϲ χαλκήρεοϲ ἱπποδαϲείηϲ
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶϲ δὲ χαμᾶζε
κάππεϲεν ἐν κονίῃϲι, νέον φοίνικι φαεινόϲ.
εἶοϲ ὃ τῷ πολέμιζε μένων, ἔτι δ' ἔλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαοϲ ἀρήιοϲ ἦλθεν ἀμύντωρ,
ϲτῆ δ' εὐρὰξ ϲὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπιϲθεν·
αἰχμὴ δὲ ϲτέρνοιο διέϲϲυτο μαιμώωϲα,
πρόϲϲω ἱεμένη· ὃ δ' ἄρα πρηνὴϲ ἐλιάϲθη.
τὼ μὲν ἐειϲάϲθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
ϲυλήϲειν· Ἕκτωρ δὲ καϲιγνήτοιϲι κέλευϲε
πᾶϲι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπεν,
ἴφθιμον Μελάνιππον· ὃ δ' ὄφρα μὲν εἰλίποδαϲ βοῦϲ
βόϲκ' ἐν Περκώτῃ, δηίων ἀπὸ νόϲφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέεϲ ἤλυθον ἀμφιέλιϲϲαι,
ἂψ εἰϲ Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεϲϲι,

---

V. L. 530 ὃν ἐφόρει E. — 531 ἐξεφύρης A. ἀπο DHL. — 532 εὐφήτης libri. — 534 ἀπο A. ἤρκεϲ': ἤρκει DHS Vrat. d. conf. N 440. — 537 χαμάζε CHL. ΧΑΜΑΖΕ Syr. — 539 * εἶοϲ ὃ: ἕωϲ ὃ ACDH 1. man. L. ΕΩϹΟ Syr. εἵωϲ ὃ H ex corr. ἕοϲ ὅτῳ G. ἤλπετο ACDEGHLS Syr. et Heynii libri conf. 701. — 540 ἦλθεν ἀμύντωρ: ἦλθ' ἐπαμύντωρ frgm. Mosc. γρ. ἐν ἄλλῳ ἦλθ' ἐπαμύντωρ A. — 541 ϲυν A. βάλλε H. ὄπιϲθεν omitt. L. — 543 πρόϲω E. ἰ̈εμένη CD. ἰ̈εμένω H. ἱεμένῳ Vrat. d. ὁ δ' D. ὅδ' CGHL. — 544 ἐειϲάϲθη L. τὼ μὲν καὶ ἐειϲάϲθην Lips. — 545 κέλευϲε ACDEH Barocc. Lips. Vrat. d. A. Rom. κέλευε G Syr. κέλευεν Apoll. Soph. 95, 30. κέλευϲεν L. — 546 ἐνένιπεν ACGH Syr. Barocc. Mor. frgm. Mosc. Lips. Flor. Strabo XIII, 586. ἐνένιπε L. ἐνένιϲπεν Vrat. A. b. man. sec. Rom. ἐνένιϲπε E bis. ἐνένϊππεν D. ἐνένιπτεν Cant. γρ. ἐνένιπτεν G 2. man. — 547 μελάνϊπον D. ὁ δ' D. ὅδ' ACGHL. εἰλίποδαϲ G. — 548 περκώπῃ L. ἀπὸ νόϲφιν D: ἄπο νόϲφιν Vrat. b. ceteri ἀπονόϲφιν. — 550 εἰϲ omitt. E. τρώεϲϲι CDE. τρῴεϲϲιν L.

---

A. c. 537 χαμᾶζε veteres, H. T. 377. — 539 ἔλπετο Aristarchus? conf. Didym. ad P 603. — 540 ἦλθ' ἐπαμύντωρ Aristarchus? conf. ad N 384.

ναῖε δὲ πὰρ Πριάμῳ. ὃ δέ μιν τίεν ἶϲα τέκεϲϲι·
τόν ῥ' Ἕκτωρ ἐνένιπεν ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
οὕτω δὴ Μελάνιππε μεθήϲομεν; οὐδέ νυ ϲοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;
οὐχ ὁράᾳϲ, οἷον Δόλοποϲ περὶ τεύχε' ἕπουϲιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἔϲτιν ἀποϲταδὸν Ἀργείοιϲι
μάρναϲθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρηϲ
Ἴλιον αἰπεινὴν ἑλέειν κτάϲθαι τε πολίταϲ.
ὣϲ εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕϲπετο ἰϲόθεοϲ φώϲ.
Ἀργείουϲ δ' ὤτρυνε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ὦ φίλοι, ἀνέρεϲ ἔϲτε, καὶ αἰδῶ θέϲθ' ἐνὶ θυμῷ,
ἀλλήλουϲ τ' αἰδεῖϲθε κατὰ κρατερὰϲ ὑϲμίναϲ.
αἰδομένων δ' ἀνδρῶν πλέονεϲ ϲόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέοϲ ὄρνυται οὔτέ τιϲ ἀλκή.
ὣϲ ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξαϲθαι μενέαινον,
ἐν θυμῷ δ' ἐβάλοντο ἔποϲ, φράξαντο δὲ νῆαϲ
ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺϲ Τρῶαϲ ἔγειρεν.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸϲ Μενέλαοϲ·
Ἀντίλοχ', οὔ τιϲ ϲεῖο νεώτεροϲ ἄλλοϲ Ἀχαιῶν,
οὔτε ποϲὶν θάϲϲων οὔτ' ἄλκιμοϲ ὡϲ ϲὺ μάχεϲθαι·
εἴ τινά που Τρώων ἐξάλμενοϲ ἄνδρα βάλοιϲθα.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἀπέϲϲυτο, τὸν δ' ὀρόθυνεν·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ

---

V. ι. 551 omitt. Syr. παρ A. παρ' D. παρὰ Lips. ὃ δὲ L. τέκεϲϲι ACDG. — 552 ΤΟΝΔ' Syr. ἐνένϊππεν D conf. 546. ἐνένιϲπεν Vrat. A. ὀνόμαζε AL Syr. Lips. — 553 ΠΕΡ' Syr. — 555 περϊ CDH. — 556 ἔτ' om. D. ἐϲτὶν CDEH. ἀργείοιϲι ACDG Syr. Eust. 1029, 12. — 557 κατὰ κτάμεν A. — 558 κτάϲθαί τε A. κτάϲθαι τὲ L. κτᾶϲθαί τε CDG Vrat. A. — 559 ὥϲ A. ὃ μὲν C. ἦρχεν L. ὃ δ' D. ὅδ' CGHL. — 561 ἐϲτὲ CDHL. ἐνι A. — 562 omitt. D in textu S Cant. in textu Vrat. A. κατα AH. — 563 δ' omitt. D. ἢ ἐπέφανται H. — 564 οὐτὰρ H. ἀρ A. οὔτέ τιϲ ACDGHL. — 565 ὥϲ A. οἳ δὲ C. ἀλεξέμεναι H Vrat. d. — 566 δὲ βάλοντο L. δὲ ἔβάλοντο G. δ' ἐβάλλοντο Lips. — 567 ἔγχεϊ AC Lips. ἑρκεϊ et ἑρκει A in marg. ἐπι H. διὰ Eust. 1031, 18. τρῷαϲ ἤγειρεν L. — 568 ὤτρυνε μέγαϲ τελαμώνιοϲ αἴαϲ Barocc. Mor. — 570 οὐδὲ . . . . οὐδ' H. ποϲὶ E Lips. — 571 τρῴων L. βάληϲθα LS. βάληϲθα E Rom. — 572 ὥϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἐπέϲϲυτο CS. ἀπέϲτιχε L. ὀρόθυνε D.

---

A. c. 554 ἀνεψιόο κταμένοιο? conf. ad B 325. — 555 περὶ, non πέρι, Ptolem. Ascalonita et Herodianus. — 556 ἕπευ, conf. K 146. N 381, 465. — 563 αἰδομένων δ' ἀνδρῶν: αἰδομένων ἀνδρῶν Aristarchus, conf. Ε 531.

ἀμφὶ ἓ παπτήνας. ὑπὸ δὲ Τρῶεϲ κεκάδοντο
ἀνδρὸϲ ἀκοντίϲϲαντοϲ. ὃ δ᾽ οὐχ ἅλιον βέλοϲ ἧκεν,
ἀλλ᾽ Ἱκετάονοϲ υἱόν, ὑπέρθυμον Μελάνιππον,
νιϲϲόμενον πόλεμον δὲ βάλε ϲτῆθοϲ παρὰ μαζόν.
δούπηϲεν δὲ πεϲών, τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψεν.
Ἀντίλοχοϲ δ᾽ ἐπόρουϲε κύων ὥϲ, ὅϲ τ᾽ ἐπὶ νεβρῷ
βλημένῳ ἀίξῃ, τόν τ᾽ ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχηϲε βαλών, ὑπέλυϲε δὲ γυῖα·
ὣϲ ἐπὶ ϲοὶ Μελάνιππε θόρ᾽ Ἀντίλοχοϲ μενεχάρμηϲ
τεύχεα ϲυλήϲων. ἀλλ᾽ οὐ λάθεν Ἕκτορα δῖον,
ὅϲ ῥά οἱ ἀντίοϲ ἦλθε θέων ἀνὰ δηιοτῆτα.
Ἀντίλοχοϲ δ᾽ οὐ μεῖνε θοόϲ περ ἐὼν πολεμιϲτήϲ,
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἔτρεϲε θηρὶ κακὸν ῥέξαντι ἐοικώϲ,
ὅϲ τε κύνα κτείναϲ ἢ βουκόλον ἀμφὶ βόεϲϲι
φεύγει, πρίν περ ὅμιλον ἀολλιϲθήμεναι ἀνδρῶν·
ὣϲ τρέϲε Νεϲτορίδηϲ, ἐπὶ δὲ Τρῶέϲ τε καὶ Ἕκτωρ
ἠχῇ θεϲπεϲίῃ βέλεα ϲτονόεντα χέοντο·
ϲτῆ δὲ μεταϲτρεφθείϲ, ἐπεὶ ἵκετο ἔθνοϲ ἑταίρων.
Τρῶεϲ δὲ λείουϲιν ἐοικότεϲ ὠμοφάγοιϲι
νηυϲὶν ἐπεϲϲεύοντο, Διὸϲ δ᾽ ἐτέλειον ἐφετμάϲ,
ὅ ϲφιϲιν αἰὲν ἔγειρε μένοϲ μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων καὶ κῦδοϲ ἀπαίνυτο, τοὺϲ δ᾽ ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸϲ ἐβούλετο κῦδοϲ ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυϲὶ κορωνίϲι θεϲπιδαὲϲ πῦρ

---

V. ι. 574 ἀμφὶ ἑ E. παπτῄναϲ C. ὑπο AH. τρῷεϲ L. κελάδοντο Lips. — 575 ἀκοντίϲαντοϲ CDEL Lips. Vrat. A. ὃ δ᾽ D. ὅδ᾽ CGHL. — 577 νῖϲόμενον AC. νιϲόμενον DH 1. man. Townl. Vrat. d. νειϲόμενον Harl. frgm. Mosc. Vrat. A. νιϲϲόμενοϲ G. πόλεμον δὲ A. — 578 δούπηϲε D. ὄϲϲ᾽ ἐκάλυψεν CL. πεϲὼν ἀράβηϲε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ DG Harl. versum omitt. Vrat. b. d. — 579 ἀντίλοχο(ϲ)ν G. ὥϲ ὅτ᾽ ἐπὶ H. λέων ὥϲ Barocc. Mor. Harl. pro var. lect. ἐπι A. — 580 ἀΐξει CE 1030, 61. 1031. 48. L ex corr. εὐνῆφι E. — 581 ἐτύχηϲε: ἔτυχε G Flor. Rom. — 582 ὡϲ ἐπι A. — 583 οὐ λάθετ᾽ Vrat. b. — 584 ἀντίον L. — 586 ἆρ EG. ἀλλ᾽ ὃ γὰρ ACDHL Vrat. d. ἀλλὰ παρέτρεϲε Mor. Barocc. ἀλλὰ παραίτρεϲε Lips. ἀλλ᾽ ὁ παρέτρεϲϲε Vrat. A. — 587 κύναϲ S Lips. ἀμφι AD. βόεϲϲι ACDEGL. — 589 ἐπι H. τρῷεϲ L. — 591 μετὰ ϲτρεφθεὶϲ A. — 592 τρῷεϲ L. δὲ: δ᾽ αὖ Harl. Lips. ὠμοφάγοιϲι ACDE. — 593 δὲ τέλειον H Vrat. d. — 594 ὅ, ϲφιϲιν AC. ὅϲ ϲφιϲιν H. ὅϲ φηϲιν E. ὅϲ ϲφιν L. — 596 βούλετο Lips. ὀρέξειν Cant.

---

A. c. 587 ἀμφὶ βόεϲϲι: ἀμφί οἱ αὐτῷ Zenodotus.

ἐμβάλοι ἀκάματον, Θέτιδοϲ δ' ἐξαίϲιον ἀρὴν
πᾶϲαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεύϲ,
νηὸϲ καιομένηϲ ϲέλαϲ ὀφθαλμοῖϲιν ἰδέϲθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θηϲέμεναι Τρώων, Δαναοῖϲι δὲ κῦδοϲ ὀρέξειν.
τὰ φρονέων νήεϲϲιν ἔπι γλαφυρῇϲιν ἔγειρεν
Ἕκτορα Πριαμίδην μάλα περ μεμαῶτα καὶ αὐτόν.
μαίνετο δ' ὡϲ ὅτ' Ἄρηϲ ἐγχέϲπαλοϲ ἢ ὀλοὸν πῦρ
οὔρεϲι μαίνηται, βαθέηϲ ἐν τάρφεϲιν ὕληϲ·
ἀφλοιϲμὸϲ δὲ περὶ ϲτόμα γίγνετο, τὼ δέ οἱ ὄϲϲε
λαμπέϲθην βλοϲυρῇϲιν ὑπ' ὀφρύϲιν, ἀμφὶ δὲ πήληξ
ϲμερδαλέον κροτάφοιϲι τινάϲϲετο μαρναμένοιο
Ἕκτοροϲ· αὐτὸϲ γάρ οἱ ἀπ' αἰθέροϲ ἦεν ἀμύντωρ
Ζεύϲ, ὅϲ μιν πλεόνεϲϲι μετ' ἀνδράϲι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιοϲ γὰρ ἔμελλεν
ἔϲϲεϲθ'. ἤδη γάρ οἱ ἐπώρνυε μόρϲιμον ἦμαρ
Παλλὰϲ Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.
καί ῥ' ἔθελεν ῥῆξαι ϲτίχαϲ ἀνδρῶν πειρητίζων,
ᾗ δὴ πλεῖϲτον ὅμιλον ὅρα καὶ τεύχε' ἄριϲτα·
ἀλλ' οὐδ' ὣϲ δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴϲχον γὰρ πυργηδὸν ἀρηρότεϲ ἠύτε πέτρη
ἠλίβατοϲ μεγάλη, πολιῆϲ ἁλὸϲ ἐγγὺϲ ἐοῦϲα,

---

V. l. 598 ἐμβάλῃ ACDEGHLS et Heynii libri. θέτιοϲ L Et. Gud. 260, 29. 474, 48. conf. Πάριοϲ Γ 325. δ' omitt. D. — 599 ἐπικρήνειε
ειν
CH. μητιέτα L. — 602 τρῴων L. ὀρέξαι A. ὀρέξειν DGLS Townl. Flor. — 603 ἐπὶ CEGHL. ἔπι AD. — 605 μαίνεται ὡϲ Rhet. Gr. I, 256, 7. ἐγχεϲπάλοϲ A. ἐγχεϲπάλοϲ D conf. H. T. 421. — 606 ἐν τάφρεϲιν libri mei cum Cant. Mor. Lips. Flor.: editores ante Wolfium ἐνὶ. — 607 γίνετο ACDEGHL. γίγνεται Rhet. Gr. I, 256, 7. γίνεται Et. Mg. 177, 48. γίνετ' ὀδόντων Apoll. Soph. 49, 3. — 608 βλοϲυροῖϲιν C. — 609 ϲμαρδαλέον S. μαρναμένοιο: μαινομένοιο Schol. Φ 5. — 611 πλεόνεϲϲϊν H. — 613 ἔϲϲεϲθαι D. ἐπώρουϲε S. — 614 ἀθήνη L. ὕπο A. ὑπαὶ Lips. βίηφι ACLS. βίῃφι DGH. δαμῆναι S in marg. — 615 ἔθελε ACDE Harl.
β α
Lips. non male. ϲτίχαϲ ῥῆξαι C. — 616 πλεῖϲτον: πλεῖον E. — 617 ὡϲ A. — 619 ἠλίβατοϲ: alii ἠλίβατόϲ teste Eust. 1033, 34.

---

A. c. 601 ἔμελλε: ἀριϲτοφάνηϲ τοῦ μέλλεν ἰακῶϲ Didymus, pro ἀριϲτοφάνηϲ repone ἀρίϲταρχοϲ. — 606 τάρφεϲιν: ταρφέϲιν Tyrannio. — 607 ἀφλοιϲμόϲ: ἄφλοιϲμοϲ Tyrannio. — 609 μαρναμένοιο: τοῦτο ἄν τιϲ ϲημειώϲαιτο πρὸϲ τὸ „τινάϲϲετο μαινομένοιο". γράφουϲι γάρ τινεϲ μαρναμένοιο Schol. A ad Φ 5. — 610—614 ἀθετοῦνται. οὐδὲ παρὰ Ζηνοδότῳ δὲ ἦϲαν Schol. A.

ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
αὐτὰρ ὃ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ᾽ ὁμίλῳ,
ἐν δ᾽ ἔπεσ᾽ ὡς ὅτε κῦμα θοῇ ἐν νηὶ πέσῃσι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα
ἄχνη ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπ᾽ ἐκ θανάτοιο φέρονται·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
αὐτὰρ ὅ γ᾽ ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ᾽ ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇσι νομεύς, οὔ πω σάφα εἰδὼς
θηρὶ μαχήσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
ἤ τοι ὃ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
αἰὲν ὁμοστιχάει, ὃ δέ τ᾽ ἐν μέσσῃσιν ὀρούσας
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ᾽ Ἀχαιοὶ
θεσπεσίως ἐφόβηθεν ὑφ᾽ Ἕκτορι καὶ Διὶ πατρὶ

---

V. L. 621 τροφέοντα A. στροφόεντα L. τροφέονται ἢ τροφόεντα, γράφεται γὰρ διχῶς Eust. 1033, 41. αὐτὴν ACD frgm. Mosc. αὐτὴν S et in marg. ἀκτήν. ἀκτῇ ν H. ἀκτή vel αὐτή L. ἀκτῇ Townl. αὐτῇ G Vrat. d. A. αὐτὴ Vrat. b. ἀκτὴν ἢ ἀκτῇ ἢ μᾶλλον αὐτὴν Eust. 1033, 27. — 622 ὡς AD 1. man. τρῷας L. οὐδὲ φέβοντο ACGS Townl. frgm. Mosc.: vulgo οὐδ᾽ ἐφέβοντο. — 623 δ ACDGHL. — 624 ἐνὶ νηῗ GS Cant. Rhet. Gr. III, 106, 25 non male, sed conf. Π 437. ι 535. λ 115. πέσῃσι ACDEG Rhet. Gr. I, 259, 12. III, 106, 25. πέσῃσιν HL Schol. A 593. — 625 λάβρον: λαῦρον τινὲς διὰ τῆς αυ διφθόγγου Eust. 1033, 58. * ὑπό: ὑπαὶ ACDE bis GHLS et Heynii libri. Rhet. Gr. I, 259, 12. ἀνεμοτραφὲς Barocc. — 626 ἄχνη CG (cum glossa ὁ ἀφρὸς) S Et. Mg. 181, 50. ἀνέμοιό τε C Mor. Apoll. Soph. 12, 3. ἀήτη A Apoll. Soph. 12, 3: vulgo ἀήτης, ita libri fere omnes et Hesych. I, 61. Rhet. Gr. I, 259, 12. Ὅμηρος δεινὸς ἀήτη (libri ἀήτης) ὡς κλυτὸς Ἱπποδάμεια Suidas I, 1, 1231, 11. — 627 ἐβρέμεται C. — 628 ὑπ᾽ ἐκ CEGL Stob. Flor. 59, 8. ὑπεκ A. vulgo ὑπὲκ. — 629 ὡς D 1. man. ἐνι A. — 631 εἱαμενῇ DHL. ἔλεος ADGH Lips. — 632 θηρί: χειρὶ Barocc. μαχέσασθαι ACDEG HLS et Heynii libri. ἀμφι AL. — 634 ἦτοι Eust. 1035, 22: ceteri ἤτοι. — 635 αἰὲν: αἰεὶ H. ὁμοστιχάνει S. δ L. — 636 ὡς D 1. man.

---

A. c. 621 οὕτως αὐτήν μετὰ τοῦ ν̄ ἀρίσταρχος, τὴν πέτραν Didymus. — 622 ὣς Δαναοὶ Τρῶας: ἐξ ἁλός, ὣς Δαναοὶ alii teste Aristonico. — 626 ἄχνη: Ζηνόδοτος χωρὶς τοῦ ῑ ἄχνη Didymus. ἀήτη: ὅτι ἀρσενικῶς δεινὸς ἀήτη, ἀλλ᾽ οὐ δεινή, ὡς κλυτὸς Ἱπποδάμεια (B 742). ἔνιοι δὲ ἀγνοοῦντες ποιοῦσι δεινὸς ἀήτης· ἀλλ᾽ οὐ δεῖ γράφειν οὕτως Aristonicus, conf. H. T. 385. — 633 μαχήσασθαι Aristarchus, conf. H. T. 308.

πάντες, ὃ δ᾽ οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἄνακτος
ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ·
τοῦ γένετ᾽ ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθ᾽ Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο,
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ᾽, ἕρκος ἀκόντων·
τῇ ὅ γ᾽ ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ᾽ ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
στήθεϊ δ᾽ ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν᾽· οἳ δ᾽ οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ᾽ ἐγένοντο νεῶν, περὶ δ᾽ ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ᾽ ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν

V. l. 638 ὃ δ᾽ D. ὅδ᾽ CGHL. οἶον DG. — 639 ἄνακτος: ἀέθλων H Vrat. d. frgm. Mosc. Schol. Pind. Ol. III. 50. εὐρυσθῆος ἀέθλων A in marg. διττὴ γὰρ ἐνταῦθα γραφὴ „ὃς Εὐρυσθῆος ἀέθλων" καὶ „ὃς Εὐρυσθῆος ἄνακτος" Eust. 1035, 50, conf. 1035, 35. — 640 ἀγγελίῃς H. ἴχνεσκε L. ἡρακλείῃ G. — 641 ἀμείνων: ἀμύμων Vrat. d. — 642 παντοίην ἀρετὴν L Eust. 1050, 36. Plutarchus de Sera numinis vindicta 7. παντοίην ἀρετὴν ἢ παντοίας ἀρετὰς Eust. 1035, 53. ἢ μὲν πόδας ἢ δὲ D. — 643 μηκυναίων G. — 644 ὅσρα A. ὃς ῥὰ L. ἐγγυάλιξε ACD. — 645 μετ᾽ ὄπισθεν A. ἐν ἀσπίδος, non ὑπ᾽, libri mei cum Cant. Lips. Harl. Townl. Vrat. A. frgm. Mosc. Flor.: ὑπ᾽ Rom. πᾶλτο CE bis H Lips. — 646 ποδηνεκέ᾽ AH 1. man. ποδηνεκὲς CDEGH 2. man. LS. — 647 ἐνὶ βλαφθεὶς: ἐνιβλαφθεὶς CDEGH, conf. Z 39. — 648 σμαρδαλέον S. περι A. παρὰ S. κροτάφοιο Cant. — 650 στήθεσι E. — 651 οἳ δ᾽ D. οἵδ᾽ CGHL. — 652 μάλα δείδισαν ACEHL Lips. Mor. Vrat. d.: μάλ᾽ ἐδείδισαν DS. μάλα ἐδείδισαν G. — 653 περῖ CH. — 656 πρωτέων ACL Lips. προτέρων DEGHS γρ. προτέρων Lips. γρ. πρώτων καὶ προτέρων καὶ πρωτέων A. αὐτοῦ: αὐτοὶ A. παρα H. ἔμιμνον EHL Mor. Vrat. d.

A. c. 640 ἀγγελίης Aristarchus: Zenodotus ἀγγελίην. — 645 διχῶς δὲ τὸ στρεφθεὶς καὶ διὰ τοῦ ᾱ καὶ διὰ τοῦ ε̄ Schol. A. πάλτο: κατ᾽ ἔνια τῶν ἀντιγράφων χωρὶς τοῦ π̄ ἆλτο Didymus. — 651 περ: Ἑλλάνικος δὲ Αἰολικῶς νομίζει τὴν περί περ᾽ εἰρῆσθαι Aristonicus. conf. Eust. 1036, 1. Ἄτταλος δὲ συγκοπήν φησιν, ὡς ἐν τῷ „πὰρ Ζηνί" (Δ 1) Schol. V. — 656 πρωτέων Aristarchum scripsisse colligo ex Schol. ad Ξ 31.

ἀθρόοι, οὐδὲ κέδαcθεν ἀνὰ cτρατόν· ἴcχε γὰρ αἰδὼc
καὶ δέοc· ἀζηχὲc γὰρ ὁμόκλεον ἀλλήλοιcι.
Νέcτωρ αὖτε μάλιcτα Γερήνιοc, οὖροc Ἀχαιῶν,
λίccεθ᾽ ὑπὲρ τοκέων γουνούμενοc ἄνδρα ἕκαcτον·
ὦ φίλοι, ἀνέρεc ἔcτε, καὶ αἰδῶ θέcθ᾽ ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήcαcθε ἕκαcτοc
παίδων ἠδ᾽ ἀλόχων καὶ κτήcιοc ἠδὲ τοκήων,
ἠμὲν ὅτεῳ ζώουcι καὶ ᾧ κατατεθνήκαcι·
τῶν ὕπερ ἐνθάδ᾽ ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑcτάμεναι κρατερῶc· μὴ δὲ τρωπᾶcθε φόβον δέ.
ὣc εἰπὼν ὤτρυνε μένοc καὶ θυμὸν ἑκάcτου.
τοῖcι δ᾽ ἀπ᾽ ὀφθαλμῶν νέφοc ἀχλύοc ὦcεν Ἀθήνη
θεcπέcιον· μάλα δέ cφι φόωc γένετ᾽ ἀμφοτέρωθεν,
ἠμὲν πρὸc νηῶν καὶ ὁμοιίου πολέμοιο.
Ἕκτορα δ᾽ ἐφράccαντο βοὴν ἀγαθὸν καὶ ἑταίρουc,
ἠμὲν ὅcοι μετόπιcθεν ἀφέcταcαν οὐδὲ μάχοντο,
ἠδ᾽ ὅccοι παρὰ νηυcὶ μάχην ἐμάχοντο θοῇcιν.
οὐδ᾽ ἄρ᾽ ἔτ᾽ Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
ἑcτάμεν, ἔνθά περ ἄλλοι ἀφέcταcαν υἷεc Ἀχαιῶν·
ἀλλ᾽ ὅ γε νηῶν ἴκρι᾽ ἐπῴχετο μακρὰ βιβάcθων,
νώμα δὲ ξυcτὸν μέγα ναύμαχον ἐν παλάμῃcι,

V. l. 657 αθρόοι A. οὐδὲ κέδαcθεν ACE Mor. Townl. Rom. cκέδαcθεν frgm. Mosc. vulgo οὐδ᾽ ἐκέδαcθεν. ἀνα A. — 658 ἀλλήλοιcι AC DG. — 659 νέcτωρ δ᾽ GH Vrat. d. edd. vett. αὖτε: γάρ τε S. — 660 τεκέων Flor. Rom. — 661 ἐcτὲ CEHL ἐνι A. — 662 ἐπϊ CDH. — 664 ἡ μὲν D. ὅτω D ex corr. H ex corr. ὅτῳ Barocc. Mor. ζώουcιν H. καταtεθνήκαcι ACDEG. κατεθνήκωcιν Vrat. d. — 665 ὕπερ ACDEGHL. — 666 ἱcτάμεναι Barocc. μὴ δὲ ACDGL. μὴ δε H. τρωπᾶcθε CDE 1036, 42. Harl. Lips. τρωπᾶcθαι[ε] A. τρωπᾶcθαι Eust. 1036, 25. 1040, 1. Townl. frgm. Mosc. Vrat. b. A. τροπάαcθε G Cant. Flor. τροπᾶcθε Vrat. d. τροπάαcθαι H. τρωπάαcθαι L. τροπώαcθαι S. φόβον δὲ A.: ceteri φόβονδε. — 667 ὡc A. ὄτρυνε A. — 669 cφιν G Flor. — 670 προc A. προ L Lips. et γρ. πὰρ. πὰρ Vrat. b. πρὸc ἢ πὰρ E. πτολέμοιο CDGH Barocc. Ven. B. — 671 δ᾽ ἐφράccαντο ACDGHLS Schol. B 408. N 123. Δ᾽ ЄΦΡΑCCΑΝΤΟ Ambros. δ᾽ ἐφράcαντο E. δὲ φράccαντο Schol. O 668. ἑτέρουc E. — 672 μετ᾽ όπιcθεν A. οὐδὲ μάχοντο S Townl.: οὐδ᾽ ἐμάχοντο ceteri. — 673 omitt. Lips ἦδ᾽ D. ἠδ᾽ ὅccι G. ἠδ᾽ ὁπόcοι S Cant. ΘΟΗΙCΙ Ambr. — 674 ἄρ ADGHL. ἥνδανε DH. — 675 omitt. L. ἔνθά περ ACDH. ἀφέcταcαν ADEL Lips. Cant. Harl. Townl. Vratt. Flor. Rom.: ἐφέcταcαν CGHS. ЄΦЄCΤΑCΑΝ Ambros. — 676 βιβάcκων L Cant. βιβάccων S. — 677 παλάμῃcι ACDEGH: παλάμῃcιν L Ambros. (sine accentu).

A. c. 665 ἀναcτρεπτέον τὴν πρόθεcιν Herodianus. — 668—673 ἀθετοῦνται Aristonicus.

κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς,
ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται
λαοφόρον καθ' ὁδόν· πολέες τέ ἑ θηήσαντο
ἀνέρες ἠδὲ γυναῖκες· ὃ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρῴσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται·
ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν.
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
ἀλλ' ὥς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο,

---

V. l. 678 δύω καὶ εἰκοσίπηχυ AC. δύω καὶ εἰκοσίπηχυ D ex corr. GL. δυωκαιεικοσίπηχυ D 1. man. H. — 679 ὠ δ' ὅτ' G. ἵππῃσι L. κελητίζειν A. ΚΕΛΗΘΙΖΕΙΝ Ambr. εὖ libri. — 680 συναείρεται A: συναγείρεται Ambros. CDGHLS et Heynii libri. συναγείρεται ἢ συναείρεται Eust. — 681 σέβας δ' ἐκ L. πρὸ τὶ C. ποτὶ S. δίηται AD Cant. Lips. Townl. Vrat. b: διώκῃ Ambr. C 1. man. (?) H frgm. Mosc. διώκοι C ex corr. L. διώκει EGS Flor. Rom. γρ. διώκηι A. — 682 λαοφόρον A. τε, ἑ, θεήσαντο A. τε ἐθεήσαντο GLS δὲ ἐθηήσαντο Vrat. A. Flor. — 683 ἢ δὲ D. ὃ δ' D. ὅδ' CGHL. — 684 θρῴσκων AH: ceteri θρώσκων. οἳ δὲ C. — 685 ὡς A. — 686 βιβών LS. βιβῶν frgm. Mosc. γρ. βιβών A. — 687 βοάων Barocc. κέλευε ACDEGH. — 688 ἀμυνέμεν' Lips. — 690 πετεεινῶν Vrat. b. — 691 ποταμῶν S. ποταμῷ Harl. πάρα ACGH Harl. Lips. παρὰ D. παραβοσκομενάων ELS Vrat. b. d. frgm. Mosc. Rom. conf. ad Ε 162. — 692 δουλιχοδούρων L. versum omitt. C. — 693 νεὼς CDE 1038, 21. L Harl. Vrat. b. d. frgm. Mosc. νεὼς (o supra ω) H. κυανοπρώιροιο A.

---

A. c. 678 δυωκαιεικοσίπηχυ Herodianus ὑφ' ἕν. τινὲς δὲ κατὰ παράθεσιν, conf. Eust. 1037, 42. — 680 συναγείρεται ἀντὶ τοῦ ἐκ πολλῶν τοὺς ἐπιτηδείους καὶ οἷον ἀρίστους καὶ ἰσοταχεῖς συναγάγῃ ἐκλεξάμενος. οἱ δὲ συναείρεται ἀντὶ τοῦ συζεύξῃ, ὡς τὸ „σὺν δ' ἤειρεν ἱμᾶσιν“ (K 499) Schol. BL, conf. Porphyr. Ζητήματα Ὁμηρικὰ cap. 8. — 686 βιβάς: βιβῶν conf. H. T. 215. — 688 τινὲς ἐπισυνάπτουσι τούτῳ τόνδε „ἀλλὰ πολὺ προθέεσκε τὸ ὃν μένος οὐδενὶ εἴκων“ (X 459) Schol. V. — 693 κυανοπρῴροιο: κυανοπρωίρου conf. H. U. 219.

ἀντίος ἀίξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπισθε
χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ᾽ αὐτῷ.
αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη.
φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἄντεσθ᾽ ἐν πολέμῳ· ὣς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ᾽ ἦν νόος· ἦ τοι Ἀχαιοὶ
οὐκ ἔφασαν φεύξεσθαι ὑπ᾽ ἐκ κακοῦ, ἀλλ᾽ ὀλέεσθαι·
Τρωσὶν δ᾽ ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου
νῆας ἐνιπρήσειν κτενέειν θ᾽ ἥρωας Ἀχαιούς.
οἳ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·
Ἕκτωρ δὲ πρυμνῆς νεὸς ἥψατο ποντοπόροιο,
καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
ἐς Τροίην, οὐδ᾽ αὖτις ἀπήγαγε πατρίδα γαῖαν.
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δῄουν ἀλλήλους αὐτοσχεδόν· οὐδ᾽ ἄρα τοί γε
τόξων ἀικὰς ἀμφὶς μένον οὐδέ τ᾽ ἀκόντων,
ἀλλ᾽ οἵ γ᾽ ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντες,
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ᾽ ἀπ᾽ ὤμων

---

V. l. 694 ἀντίος libri mei. ἀίξας: ἀίσσων AC. γρ. ἀΐξας A. ὦσεν: ὦρσεν ACDGLS et Heynii libri praeter Vrat. d, qui consentit cum H. ὦρσεν ἢ μᾶλλον ὦσεν Eust. 1038, 27 et 1035, 12, vide 1039, 34. ὄπισθε AG: ceteri ὄπισθεν. ὀπίσω Eust. 1035, 12. 1038, 27. — 696 αὖθϊς C. — 697 ἀλλήλοισι D Vrat. A. — 698 ὡς ACD. — 699 libri ἤτοι. — 700 φεύξασθαι L Lips. Vrat. b. ὑπ᾽ ἐκ CDEGHL. ὑπεκ A. — 701 τρωσὶ DE Lips. τρῳσὶν L. ἔλπετο E Lips. ἤλπετο ACDGHLS. conf. 539. ἐνι A. — 702 κτανέειν D Barocc. δ᾽ ἥρωας H. — 703 οἳ μὲν CD. — 704 νεὼς CDE 1039, 10. Mor. Vrat. b. τινὰ τῶν παλαιῶν ἀντιγράφων διὰ τοῦ ο̅ μικροῦ γράφουσι τὸ νεός Eust. 1039, 10. ποντοπόροιο A. — 706 αὖθϊς C. ἐπήγαγε H Vrat. d. — 707 τρῷες L. — 708 δηΐουν DGL. αὐτοσχεδὸν A. — 709 ἀμφὶς, μένον A. ἠμφιεσμένον Apoll. Soph. 15, 15. — 712 ξίφεσι E Lips. μεγάλοις Apoll. Soph. 28, 12. ἀμφιγύοισι AC DEG. — 714 πέσον AEL: πέσεν CDGH Lips. Vrat. d. A. frgm. Mosc. Flor.

---

A. c. 694 ἀρίσταρχος ὦσεν ὄπισθε χωρὶς τοῦ ρ̅ καὶ ἀντίος διὰ τοῦ ς̅ Didymus. — 698 ἄντεσθ᾽: ἀντέσθ᾽ Tyrannio. ὣς: στικτέον δὲ ἐπὶ τὸ πολέμῳ καὶ τὸ ἑξῆς καθ᾽ αὑτό Nicanor, conf. Ζ 109. Ν 133. τ 442. Χ 259. — 705 ὠκυάλου Herodianus: alii ὠκυάλου, ψιλῶς. — 711 ἀθετεῖ Ἀρίσταρχος (?) Schol. BL. — 712 ἀθετεῖται Aristonicus. Aristarcho adversatur Dionysius propter versum 713, sed conf. Ariston. ad vs. 714. — 714 οὕτω διὰ τοῦ ο̅ πέσον Didymus.

ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρυμνῆθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει
ἄφλαςτον μετὰ χερςὶν ἔχων, Τρωςὶν δὲ κέλευεν·
οἴcετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀυτήν·
νῦν ἥμιν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦςαι
ἡμῖν πήματα πολλὰ θέςαν κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεςθαι ἐπὶ πρυμνῆςι νέεςςιν
αὐτόν τ' ἰςχανάαςκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
ὣς ἔφαθ', οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοιςιν ὄρουςαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεςςιν·
ἀλλ' ἀνεχάζετο τυτθόν, ὀιόμενος θανέεςθαι,
θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐίςης.
ἔνθ' ἄρ' ὅ γ' ἑςτήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ ςμερδνὸν βοόων Δαναοῖςι κέλευεν·
ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἀνέρες ἔςτε, φίλοι, μνήςαςθε δὲ θούριδος ἀλκῆς·
ἠέ τινάς φαμεν εἶναι ἀοςςητῆρας ὀπίςςω,
ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράςι λοιγὸν ἀμύναι;
οὐ μέν τι ςχεδόν ἐςτι πόλις πύργοις ἀραρυῖα,
ᾗ κ' ἀπαμυναίμεςθ' ἑτεραλκέα δῆμον ἔχοντες·

V. L. 716 οὐχὶ μεθίει libri cum Apollon. de Adv. 573, 6. οὔτι μεθίει Schol. Apoll. Rhod. I, 1089. — 717 μετα A. τρῳςὶν L. δ' ἐκέλευεν CDEGHLS. δὲ κέλευεν A Vrat. b. frgm. Mosc. — 718 ὤρνυτ' A. — 719 ἧμιν ACDH: vulgo ἡμῖν. ἔδωκε AEG. — 722 με θέλοντα Cram. An. Par. III, 288. 8. ἐπὶ πρύμνηςιν ἀχαιῶν Townl. — 724 δὴ ῥὰ L. τότε βλάπτε ADEL Townl. Vrat. b. d. τότε βλάπτεν H. τότ' ἔβλαπτε C. τότ' ἔβλαπτεν G Flor. Rom. τοτ' ἔβλαπτε S. — 726 ὼς A. οἳ δ' D. οἵδ' CHL. μᾶλλον: πάντες Vrat. d. — 729 ἑπταπόδην A. — 730 ἄρ' omitt. EL. ἆρ AGH. ἑςτήκει AL Barocc. Lips. Vrat. d. frgm. Mosc. εἱςτήκει CDGS. ἱςτήκει H. — 731 τρῷας L. φέροι: φέρει DEGL Lips. Harl. — 732 δαναοῖςιν ἐκέλευεν L. — 734 ἀνέρες ἐςτὲ CEHL. — 735 ἠέ D. τίνας φαμὲν ACDEGH. τινὰς φαμὲν L. — 736 ἠέ D. ἢ ἔτι S. ἀμῦναι CDL. ἀμύνῃ H. — 737 μέν τι DH 1. man. S Townl. Vrat. d. μέν τοι L Vrat. b. μέν τις ACEGH ex corr. — 738 ἐπαμυναίμεςθ' Harl. Lips. Vrat. b. d. A. ἀπαμυναίμεςθ' A. ἐπαμυνέμεςθ' C. ἑτεραλκέα A.

A. c. 716 οὐχὶ μεθίει: Zenodotus οὐκ ἐμεθίει, conf. ad Π 762. — 730 ἑςτήκει Aristarchus, non εἱςτήκει. — 737 οὕτως μέν τι χωρὶς τοῦ ς̄ ἀρίςταρχος Didymus.

ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων
πόντῳ κεκλιμένοι ἑκὰϲ ἥμεθα πατρίδοϲ αἴηϲ·
τῶ ἐν χερϲὶ φόωϲ, οὐ μειλιχίῃ πολέμοιο.
ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι.
ὅϲ τιϲ δὲ Τρώων κοίληϲ ἐπὶ νηυϲὶ φέροιτο
ϲὺν πυρὶ κηλείῳ χάριν Ἕκτοροϲ ὀτρύναντοϲ,
τὸν δ' Αἴαϲ οὔταϲκε δεδεγμένοϲ ἔγχεϊ μακρῷ·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοϲχεδὸν οὖτα.

---

# ΙΛΙΑΔΟϹ Π.

Ὣϲ οἳ μὲν περὶ νηὸϲ ἐυϲϲέλμοιο μάχοντο·
Πάτροκλοϲ δ' Ἀχιλῆι παρίϲτατο, ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων ὥϲ τε κρήνη μελάνυδροϲ,
ἥ τε κατ' αἰγίλιποϲ πέτρηϲ δνοφερὸν χέει ὕδωρ.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
τίπτε δεδάκρυϲαι Πατρόκλειϲ ἠύτε κούρη
νηπίη, ἥ θ' ἅμα μητρὶ θέουϲ' ἀνελέϲθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ' ἐϲϲυμένην κατερύκει,
δακρυόεϲϲα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται·

---

V. L. 739 τρῴων L. πεδίῳ: ἐν ἄλλῳ τρώων ὁμάδῳ A. — 741 τῶ ACL: τῷ DGH. τῶν Harl. μειλιχίῃ ACDEH: μειλιχίη G 1. man. LS. — 742 ἤ D. μαιμόων Lips. Vrat. A. — 743 τρῴων L. κοιλὰϲ ἐπὶ νῆαϲ ἄγοιτο G Harl. Flor. ἐπὶ νηυϲὶν ἄγοιτο L. — 744 κελέωι D. ὀτρύνοντοϲ H frgm. Mosc. — 745 ὀξέϊ χαλκῷ CG Mor. Flor. ὀξέϊ δουρὶ E 1040, 13 et 39. Rom. — 746 δὲ ἢ δὴ Eust. οὔτα CGL.

---

A. c. 741 οὕτωϲ ἀρίϲταρχοϲ ϲὺν τῷ ῑ μειλιχίῃ Didymus. μειλιχίη Dionysius Thrax, conf. Schol. AV et Eust. 1040, 36.

---

V. L. 1 ἐϋϲέλμοιο CDE. εὐϲέλμοιο Townl. Vrat. a (sic). b. — 2 ἀχιλῆι H. — 3 μελάνυδροϲ A. — 4 δνοφερὸν: γνοφερὸν S. χέει: χέεν Et. Mg. 27, 44. — 8 μητρὶ κλαίουϲ' Schol. Soph. Trach. 1073. — 9 εἰανοῦ D. — 10 ὄφρ' ἂν ἕληται LS Vrat. b.

---

A. c. 5 ᾤκτειρε: θάμβηϲε Aristarchus. — 10 Ζηνόδοτοϲ δακρυόεϲϲα δέ μιν προϲδέρκεται Didymus.